ἠγάπησε τὸν Χριστόν· ἔσχε γὰρ πίστιν, ἠπιότητα, μέριμναν περὶ τοῦ πλησίον, συμπάθειαν ὑπὲρ τῶν ἀσθενῶν. Κύριον αὐτοῦ μέλημα ἦν ἡ εἰρήνη καὶ ἡ ἀγάπη. . . . Τέλος τίς τόπος ἐστὶν ἐν τῇ οἰκουμένῃ, τίς ἔρημος, τίνες θάλασσαι ἃ οὐκ ᾐσθάνθησαν τὰς εὐεργεσίας τοῦ ἁγίου Παυλίνου; Ἅπαντες ἐπόθουν γνῶναι αὐτόν, ἅπαντες ἐπεθύμουν ἰδεῖν αὐτόν . . . » Ἡ ἐλευθεριότης αὐτοῦ κατέστησεν αὐτὸν πτωχότατον. Μικρὸν πρὸ τοῦ θανάτου, ὅτε ἤδη μετέλαβε τῶν ἀχράντων μυστηρίων, εἶπεν αὐτῷ ὁ ἱερεὺς Ποσθουμιανός, ὅτι ἀντὶ ἐνδυμάτων, ἅτινα ἐδωρήσατο τοῖς πτωχοῖς ὤφειλε 40 δηνάρια. « Ὡς πρὸς τοῦτο μηδὲν φοβοῦ, ἀπεκρίνατο αὐτῷ ὁ ἅγιος μειδιῶν, ἀποτίσει τις τὸ χρέος τῶν πτωχῶν ». Λαβὼν δὲ μετά τινας ὥρας πεντήκοντα δηνάρια, ἅτινα ἔστειλαν αὐτῷ ἐπίσκοπός τις καὶ λαϊκός τις, τούτων μὲν δύο ἔδωκε τῷ κομίσαντι αὐτά, τὰ δ᾽ ἄλλα διέτταξε δοῦναι πρὸς ἀπότισιν τοῦ χρέους αὐτοῦ. Τούτου γενομένου, ἐξεδήμησε πρὸς Κύριον (1).

Ὁ ἅγιος Παυλῖνος τάσσεται ἐν τοῖς ἀρίστοις τῶν ἀρχαίων χριστιανῶν ποιητῶν. Οὐ μόνον αἱ ᾠδαὶ αὐτοῦ (32 τὸν ἀριθμὸν) διαπρέπουσιν ἐπὶ ὑψηλῇ καὶ τρυφερᾷ ποιήσει, (κατ᾽ ἐξοχὴν δὲ αἱ 4, 7 καὶ ἡ 13 εἰς τὸν ἅγιον Φήλικα), ἀλλὰ καὶ αἱ ἐπιστολαὶ αὐτοῦ (50 τὸν ἀριθμὸν) ἐγράφησαν ἐν ποιητικῷ πνεύματι,—ἐν ἐνίαις (Ep 8. 32) ὁ πεζὸς λόγος ἐστὶ παραπλήσιος στίχοις (2).

Τὸ πνεῦμα καὶ τὴν ἀξίαν τῶν συγγραμμάτων τοῦ ἁγίου Παυλίνου δυνάμεθα ἰδεῖν ἐν τῇ ἀποκρίσει τοῦ μακαρίου Αὐγουστίνου εἰς τὰς πρώτας ἐπιστολὰς τοῦ ἱεροῦ τούτου ἀνδρός. « Ὦ ἀγαθὲ ἄνερ, καὶ ἀγαθὲ ἀδελφέ, ... ἀνέγνων τὰς ἐπιστολάς σου ῥεούσας γάλα καὶ

(1) Uranius de obit. Paulini n. 3. Ἡ μνήμη τοῦ ἁγίου Παυλίνου τελεῖται τῇ κβ´ Ἰουνίου.

(2) Ἐκδόσεις τῶν συγγραμμάτων τοῦ ἁγίου Παυλίνου: Opera omnia S. Paulini notisque illustrata, cnm dissertationibus de vita et scriptis, α´] Le Brun. Paris. 1685 2, 4. β´] Opera omnia aucta atque emendata, dissertation. variorum locuplitata ed a Muratorio, Veronæ, 1736. γ´] Συμπληρώσεις: Fasciculus Anecdotorum a Mingarellio. Romæ, 1756. SS. Epist. Nicetæ et Paulini scripta, nunc primam edita a Maio. Romae, 1818. 4.

μέλι, ἐμφαινούσας τὴν τῆς σῆς καρδίας ἁπλότητα, ἐν ᾗ ζητεῖς τὸν Κύριον . . . . καὶ προσφερούσας Αὐτῷ δόξαν καὶ τιμήν. Ἀνέγνωσαν αὐτὰς οἱ ἀδελφοὶ καὶ χαίρουσιν ἀκαμάτως καὶ ἀφάτως ἐπὶ τοῖς πλουσίοις τε καὶ ἐξόχοις χαρίσμασι τοῦ Θεοῦ, ἐπὶ τοῖς σοῖς ἀγαθοῖς. Ὁσοιδήποτε ἀνέγνωσαν αὐτάς, ἁρπάζουσιν αὐτάς, διότι ἁρπάζονται ἀναγινώσκοντες αὐτάς . . . . » (1). Νῦν αἱ ἐπιστολαὶ καὶ αἱ ᾠδαὶ τοῦ ἁγίου Παυλίνου εἰσὶν ἰδίως σπουδαῖαι, δι' ἣν ἀποπνέουσιν ἄκραν εὐσέβειαν. Ἐν αὐταῖς ἐξεικονίζεται διὰ ζωηρῶν χαρακτήρων τὸ τῆς χριστιανικῆς τελειότητος ὕψος (2), καὶ πῶς διαφυλακτέον τὴν καρδίαν (3), περιγράφονται αἱ ἀξίαι τῆς εὐαγγελικῆς ταπεινοφροσύνης (4), τῆς πρὸς τὸν Θεὸν ἀγάπης (5), καὶ τῆς πρὸς τὸν πλησίον (6)· ἐκτίθενται τὰ καθήκοντα τῶν συζύγων (7), καὶ αἱ διὰ τοὺς δυστυχεῖς ἡδεῖαι παραμυθίαι (8). Τρεῖς ᾠδαί εἰσιν ἐξαίρετοι πρὸς τὸν Θεὸν προσευχαί (9), τρεῖς δὲ ἄλλαι εἰσὶ παραφράσεις τριῶν ψαλμῶν (τοῦ α', τοῦ β', καὶ τοῦ ρλς')(10). Ἐπὶ δὲ τούτοις ἐν ταῖς ἐπιστολαῖς αὐτοῦ καὶ ἐν ταῖς ᾠδαῖς ποιεῖται λόγον ὁ ἱερὸς ἀνὴρ περὶ τῆς θείας Προνοίας (11), περὶ τῆς διαφθορᾶς τῆς ἡμετέρας φύσεως (12), περὶ τῆς ἁγίας Εὐχαριστίας (13), περὶ τῆς ὑπὲρ τοῦ κόσμου μεσιτείας τῶν ἁγίων (14), περὶ τῆς ὑπὲρ τῶν κεκοιμημένων προσευχῆς (15). Ἐν τῇ πρὸς τὸν Ἄμαν-

(1) August. Ep. XXVII.
(2) Ep. 24, 28, 32.
(3) Ep. 1, 38, 39, 40, 43.
(4) Ep. 11, 12, 23.
(5) Ep. 20, 23.
(6) Poem. 6 de S. Johanne Baptista.
(7) Ep. 11, 13.
(8) Carm. 22.
(9) Ep. 14, 15, 19, 43. Carm. 21, 30.
(10) Carm. 17, 18, 19.
(11) Carm. 4, 5 et carmen Maio editum.
(12) Ep. 16. carm. 19.
(13) Ep. 32 p. 204:
» In cruce fixa caro est, qua pascor; de cruce sanquis
» ille fluit, vitam quo bibo, corda lavo.
« Ἡ τοῦ Ἰησοῦ Χριστοῦ σάρξ, ᾗ τρέφομαί, ἐστιν ἡ σάρξ, ἡ προσηλωθεῖσα τῷ Σταυρῷ· καὶ τὸ αἷμα, ὅπερ πίνω, ὅπως πίω τὴν ζωὴν καὶ καθάρω τὴν ἐμὴν καρδίαν, ἐστὶ τὸ ἐπὶ τοῦ Σταυροῦ ἐκχυθὲν αἷμα ».
(14) Poem. 13, 14, 18. Ep. 23 ad Severum p. 204. 45 ad Augustinum.
(15) Ep. 35 ad Delphinum, ad

δον κγ΄ αὐτοῦ ἐπιστολῇ λέγει: «Spiritus Dei, sicut et Verbum Dei, Deus uterque in uno capite permanentes, et ex uno Patris fonte manantes, sed Filius nascendo, Spiritus procedendo, salva quisque personarum suarum proprietate, distincti potius quam divisi sunt» ἤτοι: «Τὸ Πνεῦμα τοῦ Θεοῦ, ὥσπερ καὶ ὁ τοῦ Θεοῦ Λόγος, Θεὸς ἀμφότεροι, ἐν μιᾷ μένοντες κεφαλῇ, καὶ ἐκ μιᾶς τῆς τοῦ Πατρὸς πηγῆς προβλύζοντες. Ἀλλ᾽ ὁ μὲν Υἱὸς γεννητῶς, τὸ δὲ Πνεῦμα ἐκπορευτῶς. Σωζομένης ἑκατέρῳ τῆς τῶν προσώπων Αὐτῶν ἰδιότητος, διακεκριμένοι μᾶλλον, ἢ διῃρημένοι εἰσί» [ε].

Ὁ ἅγιος Παυλῖνος αὐτὸς ἠγάπα κοσμεῖν τοὺς ὑπ᾽ αὐτοῦ οἰκοδομημένους ναοὺς δι᾽ ἁγίων εἰκόνων καὶ μετ᾽ ἀγάπης ἔγραφε περὶ αὐτῶν. Οὐχ ἅπαξ λέγει, ὅτι αἱ ἅγιαι εἰκόνες εἰσὶν ἐξαίρετον μέσον πρὸς διδασκαλίαν τῆς πίστεως καὶ τῆς εὐσεβείας (¹), καὶ σύναμα γράφει ὡς αὐτόπτης, ὅτι πυρκαϊά, ἣν οὐδεμία ἐλπὶς ἦν κατασβέσαι, κατεπαύθη τεμαχίῳ τοῦ Σταυροῦ τοῦ Χριστοῦ (²). Ἐκ τῶν συγγραμμάτων αὐτοῦ γίγνεται δῆλον, ὅτι αἱ εἰκόνες δι᾽ ὧν ἐκόσμει τοὺς ὑπ᾽ αὐτοῦ οἰκοδομουμένους ναούς, ἦσαν κατ᾽ ἐξοχήν:

α΄] Ὁ τίμιος Σταυρός, ὁτὲ μὲν μόνος, ὁτὲ δὲ μετὰ ἀμνοῦ, φέροντος αὐτόν, καὶ ἔσθ᾽ ὅτε μετὰ τῶν Ἀποστόλων καὶ τῶν Εὐαγγελιστῶν, «Ἐπὶ τῆς πέτρας ἵσταται αὐτὴ ἡ πέτρα τῆς Ἐκκλησίας, καὶ ἐξ αὐτῆς ἀναβλύζουσι τέσσαρες ἠχώδεις πηγαὶ δηλαδὴ οἱ τέσσαρες Εὐαγγελισταί, τὰ ζῶντα ῥεῖθρα τοῦ Χριστοῦ» (³).

β΄] Ἡ ἁγία Τριάς, ὡς ἐπεφάνη κατὰ τὴν βάπτισιν τοῦ Σωτῆρος. «Στίλβει ἡ Τριὰς ἐν πλήρει μυστηρίῳ· ἵσταται ὁ ἀμνὸς Χριστός· ἡ

Amandum p. 224, ep. 13, n. 3, 11-14.

[ε] Περὶ τοῦ μυστηρίου τῆς Παναγίας Τριάδος καὶ τοῦ τῆς θείας ἐνανθρωπήσεως πραγματεύεται ὁ ἅγιος Παυλῖνος ἐν τῇ κβ΄ ἐπιστολῇ πρὸς τὸν αὐτὸν Ἄμανδον. Σ. Μ.

(¹) Poem. 24. p. 155, 25. p. 166, 24. p. 156.

(²) Poem. 32 ad Severum.

(³) Carm. de S. Felice Natal. 6 (al. 9).

» Crucem corona lucido cingli globo;
» cui coronæ sunt corona Apostoli,
» quorum figura est in columbarum choro.
ibid. Πρβλ. Ep. 32 ad Severum.

τοῦ Πατρὸς φωνὴ βροντᾷ οὐρανόθεν, καὶ ἐν εἴδει περιστερᾶς κατέρχεται τὸ ἅγιον Πνεῦμα ([1]).

γ΄] Οἱ ἅγιοι Μάρτυρες μετὰ τῶν πράξεων αὐτῶν, κατ' ἐξοχὴν ὁ ἅγιος Φῆλιξ, ὑφ' οὗ οὐχ ἅπαξ εὐηργετήθη ὁ ἅγιος Παυλῖνος ([2]).

δ΄] Ἡ ἱστορία ἁπάσης τῆς Πεντατεύχου τοῦ Μωϋσέως, ἡ τοῦ Ἰησοῦ τοῦ Ναυῆ, τῆς Ρούθ, τῶν Κριτῶν, τῶν Βασιλέων, τοῦ Ἰώϐ, τοῦ Τωϐίτ, τῆς Ἰουδίθ, καὶ τῆς Ἐσθήρ ([3]).

§. 201. Ἰωάννης ὁ Κασσιανός.

Ὁ ἅγιος Ἰωάννης ὁ Κασσιανὸς κατὰ μὲν τὸν τόπον τῆς γεννήσεως καὶ τὰς τελευταίας αὐτοῦ ἡμέρας ἀνῆκεν, ὡς καὶ ὁ ἅγιος Παυλῖνος, εἰς τὴν Δύσιν ([4]), κατὰ δὲ τὸ πνεῦμα καὶ τὴν παιδείαν εἰς τὴν

([1]) Ep. ad Severum 4 (al. 12).

([2]) Carm. de S. Fel. Nat. 6 (al. 9).

([3]) Carm. de S. Fel. Nat. 6 (al. 9):
» Omnia namque tenet serie pictura fideli,
» quæ senior scripsit per quinque volumina Moses,
» quæ gessit Domini signatus nomine Jesus . . .
» Jam distinguentem modico Ruth tempora libro,
» tempora Judicibus finita, et Regibus orta
» Intentis transcurre oculis.

Ὁ μακάριος Αὐγουστῖνος, κατὰ τὸν αὐτὸν χρόνον ἀκμάσας ἐν τῇ Ἀφρικῇ, ὁμιλεῖ περὶ εἰκόνων παριστασῶν τὸν Σωτῆρα, τὸν πρωτομάρτυρα Στέφανον (Serm. 316, 9, 5,) τοὺς Ἀποστόλους Πέτρον καὶ Παῦλον (Lib. I de cons. Evangel. c. 10), τὴν θυσίαν τοῦ Ἀϐραὰμ (Lib. 22. contra Faust. c. 73), περὶ τῆς ἀποδιδομένης τῷ τιμίῳ Σταυρῷ τιμῆς (Serm. 88. Enarrat. in Psalm. 54 § 12 καὶ ἀλλαχοῦ), περὶ τῶν τῷ σημείῳ τοῦ Σταυροῦ τελουμένων θαυμάτων (Lib. 22 de civit. Dei, c. 8, n. 3), καὶ τοῖς λειψάνοις τῶν ἁγίων μαρτύρων (Serm. 218, 317, 319. de Civ. Dei lib. 22. c. 8. Contra Faust. lib. 20 c. 21.)

([4]) Ὁ Γεννάδιος καλεῖ αὐτὸν Σκύθην τὸ γένος (de Script. Eccles. c. 61), ἀλλ' οὐκ ὀρθῶς. Αὐτὸς ὁ Κασσιανὸς καλεῖ τὴν ἔρημον τῆς Σκήτεως Σκυθίαν (Praefat. in decem priores Collation). Ἐκ τούτου δ' ἔγραψεν ὁ Γεννάδιος, ὅτι ἦν Σκύθης τὸ γένος. Αὐτὸς ὁ Κασσιανὸς περιγράφει τὴν χώραν, ἐν ᾗ ἐγεννήθη, ὡς χώραν ὡραίαν καὶ εὔφορον (Collat. XXIV 1). Τοῦτο δ' ἀδύνατον εἰπεῖν περὶ τῆς Σκυθίας — ἐπαρχίας τῆς Θρᾴκης, κατεχομένης τότε ὑπὸ τῶν Γότθων. Πάνυ πιθανόν, ὅτι ἐγεννήθη, ἔνθα δι-

Ἀνατολήν. Ρωμαῖος κατὰ τὴν γλῶσσαν, ἐν ᾗ συνέγραψε τὰ συγγράμματα αὐτοῦ, διὰ δὲ τὴν μακροχρόνιον ἐν τῇ ἐρήμῳ τῆς Σκήτεως διατριβήν, οὐχ ἧττον καὶ διὰ τὸ πνεῦμα, Σκητιώτης, διήκουσεν ἐν τῇ μονῇ τῆς Βηθλεὲμ τὰς περὶ πίστεως διδασκαλίας (1). Ἐν τῇ μονῇ ταύτῃ περιεβάλετο τὴν μοναχικὴν ἐσθῆτα (2) καὶ συνέθετο πνευματικὴν φιλίαν πρὸς τὸν ἀδελφὸν Γερμανόν (3), μεθ' οὗ, μετὰ διετῆ ἐν Βηθλεὲμ διατριβήν (4), περὶ τὸ 390 ἐποιεῖτο ὁδοιπορίας κατὰ τὰς μονὰς καὶ τὰς σκήτας τῆς Αἰγύπτου (5). Ἑπτὰ ἔτη διῆλθον, ἐπισκεπτόμενοι τοὺς πολυαρίθμους ἐρημίτας τῆς εὐρείας Θηβαΐδος καὶ τῆς ἐρήμου τῆς Σκήτεως, καὶ ἀκροώμενοι αὐτῶν. Ἐνταῦθα ἀπέκειτο αὐτοῖς ὑποστῆναι πολλὰς ταλαιπωρίας καὶ δυσαρεστήσεις. Τῷ 397 ἐπανῆλθον οἱ εὐσεβεῖς ὁδοιπόροι εἰς τὴν μονὴν τῆς Βηθλεέμ, ἔνθα διέτριψαν ἐπὶ βραχὺν χρόνον. Ἐντεῦθεν ἐπανῆλθον εἰς τὴν Σκῆτιν, ἔνθα διέτριψαν τρία ἔτη (6). Τῷ 404 ἀφίκοντο εἰς Κωνσταντινούπολιν, ἔνθα ἠκροῶντο τῶν ὁμιλιῶν τοῦ μεγάλου Ποιμένος τῆς πόλεως ταύτης τοῦ Χρυσοστόμου. Ὁ Κασσιανὸς προὐχειρίσθη τότε εἰς διάκονον (7). Τῷ 405 ἐπέμφθη εἰς Ρώμην ὑπὸ τοῦ κλήρου τῆς Κωνσταντινουπόλεως, ὅπως παρακαλέσῃ τὸν πάπαν Ἰννοκέντιον ὑπερασπίσαι τὸν ἀδίκως ἐξορισθέντα θεῖον διδάσκαλον (8). Ἄγνωστον, εἰ κατ' εὐθεῖαν ἐκ Ρώμης, ἤ, ἐπιστρέψας αὖθις ἐν Κωνσταν]πόλει, μετέβη ἔπειτα εἰς Μασσαλίαν. Ὅπως καὶ ἂν ἔχῃ, ἐνταῦθα ἐχειροτονήθη πρεσβύτερος, καὶ καθίδρυσε δύο μοναστήρια, τὸ μὲν ἀνδρῷον, τὸ δὲ γυναικεῖον. Ἐντεῦθεν πρῶτος εἰσήγαγεν εἰς Γαλλίαν

ἦλθε τὰ τελευταῖα τοῦ βίου αὐτοῦ ἔτη. δηλ. ἐν Γαλλίᾳ πέριξ τῆς Μασσαλίας. *Wiggers* de Cassiano.

(1) De Instit. Coenob. III, 4· Collation. XII, XV, XIX. Ἐπειδὴ ἡ Παλαιστίνη ἦν τότε ἡνωμένη τῇ Συρίᾳ (Collation. XX, I.) ἡ ἔρημος τῆς Βηθλεὲμ καλεῖται ὑπὸ τοῦ Κασσιανοῦ Συριακὸν μοναστήριον, καὶ λέγει, ὅτι ἔκειτο οὐ πόρρω τοῦ σπηλαίου ἔνθα ἐγεννήθη ὁ Σωτὴρ (Instit. Coenob. VI. 31).

(2) Collation. XVI, I, XVII, 2, 5,

(3) Collation. XIV, 9. I, 1.

(4) Collation. XIX, 2.

(5) Collation. XI, 1.

(6) Collation. XVII, 51.

(7) De Incarnatione Domini VII, 30, 31.

(8) Σωζόμ. η' 26. Νικηφ. ιγ' 32.

τὸν μοναχικὸν βίον(1). Τῷ 417, κατὰ παράκλησιν τοῦ ἐπισκόπου Ἄπτης (Apt) Κάστορος, καθιδρύσαντος ἐν τῇ ἑαυτοῦ ἐπαρχίᾳ μοναστήριον, ὁ Κασσιανὸς ἔγραψε δώδεκα βιβλία περὶ διατάξεων τῶν κοινοβίων (de coenobiorum institutis), τῆς Παλαιστίνης καὶ τῆς Αἰγύπτου(2). Ὅπως δὲ καταστήσῃ γνωστὸν τὸ πνεῦμα τῶν ἐν τῇ Ἀνατολῇ ἀσκητῶν, ἤρξατο γράφειν, κατὰ παράκλησιν τοῦ αὐτοῦ Κάστορος, καὶ τῷ 419 ἐτέλεσε τὴν συγγραφὴν δέκα Διαλέξεις τῶν Πατέρων (Collationes Patrum) (3), μετὰ δὲ τὸν θάνατον τοῦ Κάστορος ἔγραψεν ἑπτὰ ἄλλας, ὁμιλίας προσφωνηθείσας Ὀνωράτῳ τῷ Ἀρελάτης (4), τὸ ἐπισκοπικὸν ἀξίωμα κατέχοντι ἀπὸ τοῦ 426-428(5). Αἱ ἄλλαι ἑπτὰ ἐγράφησαν μετὰ τὸν θάνατον τοῦ Ὀνωράτου (6). Τελευταῖον σύγγραμμα τοῦ Κασσιανοῦ ἦν τὸ κατὰ Νε-

(1) Gennad. de Script. Eccles. c. 61.

(2) Τὸ περὶ κοινοβίων σύγγραμμα ἐγράφη πρὸ τῶν ἄλλων (Γεννάδιος), καὶ ἐποιήσατο αὐτοῦ μνείαν ὁ Κασσιανὸς ἐν τῷ προλόγῳ εἰς τὰς συνδιαλέξεις τῶν Πατέρων (Collationes Patrum).

(3) Ἐν τῷ εἰς τὰς δέκα Διαλέξεις προλόγῳ προσφωνεῖ αὐτὰς τῷ ἐπισκόπῳ Λεοντίῳ, διαδόχῳ τοῦ ἀποθανόντος Κάστορος. Ἀλλὰ τῷ 419 ἔζη ἔτι ὁ Κάστωρ, διότι ὁ Π. Βονιφάτιος μνημονεύει αὐτοῦ ἐν τῇ πρὸς τοὺς ἐπισκόπους τῆς Γαλλίας ἐπιστολῇ αὐτοῦ, γραφείσῃ κατὰ τὸν Ἰούλιον τοῦ 419.

(4) Βλ. Προλόγ. εἰς ταύτας τὰς συνδιαλέξεις.

(5) Prosper. in Chron. ad an. 426. Περὶ τοῦ χρόνου τῆς συγγραφῆς τῶν ἑπτὰ Συνδιαλέξεων βλ. καὶ Collation. XIII, ἔνθα λέγεται: «Qui ut pereat unus ex pusillis, non habet voluntatem, quomodo sine *ingenti sacrilegio* putandus est, non universaliter omnes, sed quosdam salios fieri velle pro omnibus? §. 7. Οἱ λόγοι οὗτοι προδήλως ὑπαινίσσονται τοὺς λόγους τοῦ Αὐγουστίνου ἐν τῷ de correptione et gratia συγγράμματι, ἔνθα (c.XIV) εἴρηται: et quod scriptum est (quod vult ut intelligatur) omnes homines salvos fieri, nec tamen omnes salvi fiuntita dictum est, ut intelligantur omnes praedestinati. Τὸ σύγγραμμα de correptione ἐγράφη τῷ 427.

(6) Praefat. ad VII post collation. Ἐνταῦθα ὁ Ὀνωράτος καλεῖται μακάριος· ταύτης δὲ τῆς ὀνομασίας ἐγίγνετο χρῆσις περὶ ἀποθανόντος. (Prosper. contr. Collatorem c. 25) beatus Augustinus Episcopus.

στορίου, (de incarnatione Domini ἤτοι περὶ τῆς ἐνανθρωπήσεως τοῦ Κυρίου), ὅπερ συνέγραψε τῷ 431, κατὰ παράκλησιν τοῦ ρωμαίου ἀρχιδιακόνου Λέοντος, κατόπιν περικλεοῦς Πάπα ([1]). Ὁ ὅσιος ἐξεδήμησε πρὸς Κύριον τῷ 435 ([2]).

§. 202. Συγγράμματα αὐτοῦ.

Ἐκ τῶν συγγραμμάτων τοῦ ἁγίου Κασσιανοῦ [*] τὸ κατὰ Νεστορίου ἐστὶν ἧττον σπουδαῖον. Ἐν αὐτῷ συνελέγησαν αἱ κατὰ τοῦ αἱρετικοῦ τούτου δοξασίαι τῶν ἀνατολικῶν καὶ δυτικῶν διδασκάλων [α].

([1]) Praefat. in libr. de Incarnatione. Πρβλ. Collation. 24, 26. Ὁ Νεστόριος καλεῖται ἔτι ἐπίσκοπος Κωνσταντινουπόλεως· ἀλλὰ τῷ 431 ἐστερήθη ἐν Ἐφέσῳ τοῦ ἀξιώματος αὐτοῦ. Ἐπὶ δὲ τούτοις μνημονεύει τῶν πρὸς τὸν Καιλεστῖνον μεσιτειῶν (intercessiones) τοῦ Νεστορίου ὑπὲρ τοῦ Πελαγίου καὶ βεβαίως ἐννοεῖ τὰς δύο ἐπιστολὰς τοῦ Νεστορίου, ὧν ἡ μὲν μία ἐγράφη τῇ ιϐ΄ Αὐγούστου τοῦ 430, ἡ δ' ἑτέρα κατόπιν. Mansi, Collect. Consilior. T. IV, p. 102.

([2]) Κατὰ τὸν Γεννάδιον ἐπὶ Θεοδοσίου καὶ Οὐαλεντιανοῦ, κατὰ δὲ τὸν Τριθέμιον (Catal. illustr. vir.) τῷ 435. Εἰ οὐκ ἐγένετο ἀπόκρισις εἰς τὸ σύγγραμμα τοῦ Προσπέρου contra Collatorem, τοῦτο εἰς μάτην ἀναφέρουσιν πρὸς ἀνασκευὴν τῆς μαρτυρίας τοῦ Τριθεμίου. Ὁ Κασσιανὸς ἔγραψε καὶ τὸ κατὰ Νεστορίου σύγγραμμα ἐνδιδοὺς τῇ παρακλήσει τοῦ Λέοντος. Τὴν ἱερὰν αὐτοῦ μνήμην τελεῖ ἡ Ἐκκλησία τῇ κθ΄ Φεβρουαρίου. Γρηγόριος ὁ Διάλογος (Moral. libr. VI, ep. XII) ἐπαινεῖ τὸ εἰς τιμὴν τοῦ ἁγίου Κασσιανοῦ ἐν Μασσαλίᾳ οἰκοδομηθὲν μοναστήριον.

[*] Ἐκδόσεις: Joannis Cassiani Opera Omnia cum commentariis Alardi Gazaei Atrebati 1628. fol. Migne Ser. Latin. XLIX-L.

[α] Ἐν τῷ συγγράμματι τούτῳ τρανῶς ἀνακηρύττει ὁ ὅσιος Πατὴρ Θεοτόκον τὴν ἀειπάρθενον μητέρα τοῦ Ἐμμανουήλ, καὶ ἀποδείκνυσι τοῦτο ἐκ τῶν Γραφικῶν μαρτυριῶν καταισχύνων τὸν θεοστυγῆ Νεστόριον. Ἐν τῷ τέλει δ' αὐτοῦ ἀποκλαίεται ὀδυνηρῶς τὴν κακομοιρίαν, εἰς ἣν κατέστησε τὴν Κωνσταντινούπολιν ἡ αἵρεσις τοῦ Νεστορίου, καὶ προτρέπει τοὺς πιστοὺς ταύτης τῆς Ἐκκλησίας ἀποχωρισθῆναι τέλεον αὐτοῦ, ὅπως προσκολληθῶσι τῇ διδασκαλίᾳ τῶν ἀρχαίων αὐτῶν ἐπισκόπων Γρηγορίου τοῦ Θεολόγου τοῦ ἀνὰ τὴν οἰκουμένην γνωστοῦ (nobilis per orbem), Νεκταρίου τοῦ κατὰ τὴν ἁγιοσύνην ἐπιφανοῦς (Sanctimonia insignis), Ἰωάννου τοῦ κατὰ τὴν πίστιν

Ὁ ὅσιος Κασσιανός ἐστι διδάσκαλος τοῦ ἀσκητικοῦ βίου. Ἐν τῷ πρώτῳ τῶν δώδεκα βιβλίων περὶ διατάξεων τῶν κοινοβίων[1] ποιεῖται λόγον περὶ τοῦ ἐνδύματος τῶν μοναχῶν. Ἐν τῷ δευτέρῳ καὶ τῷ τρίτῳ περὶ τοῦ σκοποῦ τῆς προσευχῆς καὶ τῆς νυκτερινῆς καὶ ἡμερινῆς ψαλμῳδίας. Ἐν τῷ τετάρτῳ περὶ τοῦ πῶς δεῖ δέχεσθαι τοὺς νέους, οὓς καλεῖ *renunciantcs*, δηλ. ἀποτασσομένους τῷ κόσμῳ. Ἐν τοῖς τελευταίοις ὀκτὼ βιβλίοις πραγματεύεται περὶ τῶν ὀκτὼ κεφαλαιωδῶν ἁμαρτημάτων. Ταῦτα δ' εἰσίν: ἡ γαστριμαργία (βιβλίον ε΄), ἡ πορνεία (βιβλ. ς΄), ἡ φυλαργυρία (βιβλίον ζ΄), ἡ ὀργὴ (βιβλ. η΄), ἡ δυσθυμία (tristitia) (βιβλ. θ΄), ἡ ἀκηδία (βιβλίον ι΄), ἡ κενοδοξία (βιβλ. ια΄), καὶ τέλος ἡ ὑπερηφάνεια (βιβλ. ιϐ΄).

Τὸ σύγγραμμα μετεφράσθη ἐκ τῆς λατινικῆς γλώσσης εἰς τὴν

καὶ τὴν ἁγνείαν θαυμαστοῦ (fide et puritate mirabilis). Περὶ τοῦ τελευταίου (τοῦ Θείου Χρυσοστόμου) λέγει περιπαθῶς καὶ κατανυκτικῶς τάδε: «Μέμνησθε τοῦ Ἰωάννου ἐκείνου, ὃς ἀληθῶς παραπλησίως τῷ Εὐαγγελιστῇ Ἰωάννῃ καὶ μαθητὴς καὶ Ἀπόστολος τοῦ Ἰησοῦ ἐγένετο, καὶ ἐπὶ τοῦ στήθους τοῦ κυρίου ἀνέπεσεν. Ἐκείνου, λέγω, μέμνησθε, ἐκείνῳ ἕπεσθε, τὴν ἁγνείαν ἐκείνου, τὴν πίστιν ἐκείνου, τὴν διδασκαλίαν ἐκείνου καὶ ἁγιότητα ἔχετε ἐν νῷ. Ἐκείνου μέμνησθε ἀείποτε τοῦ διδασκάλου ὑμῶν καὶ τροφέως, ἐν οὗ οἱονεὶ τοῖς γόνασι καὶ ταῖς ἀγκάλαις ηὐξήσατε. Ὃς κοινὸς ἐμοί τε καὶ ὑμῖν διδάσκαλος ἐγένετο· οὗ μαθηταὶ καὶ παίδευσίς ἐσμεν. Ἐκείνου τὰ συγγράμματα ἀναγινώσκετε· ἐκείνου τὴν ὑποτύπωσιν κατέχετε, ἐκείνου τὴν πίστιν περιβάλεσθε . . . Ἐκεῖνον τοίνυν ἔχετε ἀείποτε ἐν τῷ νῷ ὑμῶν καὶ οἱονεὶ πρὸ τῶν ὀφθαλμῶν ὑμῶν . . . Ἐκεῖνος τέλος ταῦτα, ἃ ὑπ' ἐμοῦ ἐγράφησαν, συστησάτω ὑμῖν· διότι ἃ ἔγραψα ἐκεῖνος ἐδίδαξέ με...» Σ. Μ.

(1) Ὁ Κασσιανὸς καλεῖ τὸ σύγγραμμα τοῦτο ἐν τῷ εἰς τὰς δέκα Συνδιαλέξεις προλόγῳ «Volumina, quæ de institutis coenobiorum et de octo principalium vitiorum remediis duodecim libellis digesta sunt. Ὁ Φώτιος διαιρεῖ ἅπαν τὸ σύγγραμμα εἰς δύο βιβλία, ὧν τὸ μὲν περιέχει κανόνας τοῦ μοναδικοῦ βίου, τὸ δὲ διαλαμβάνει περὶ τῶν ὀκτὼ λογισμῶν (ἢ κεφαλαιωδῶν ἁμαρτημάτων). Ἐντεῦθεν ἡ ὀνομασία τοῦ συγγράμματος περὶ τῶν διατάξεων τῶν κοινοβίων ἀνήκει κατ' ἐξοχὴν μόνον εἰς τὸ πρῶτον ἥμισυ· ἀπεδόθη δ' εἰς ἅπαν τὸ σύγγραμμα, οὐχ ὁρισθείσης ἀκριβῶς τῆς ὑποθέσεως.

ἑλληνικήν, εἰ μὴ ζῶντος τοῦ ἁγίου Κασσιανοῦ, εὐθὺς μετὰ τὴν τελευτὴν αὐτοῦ [*]. Ὅτι δ' ἐγράφη λατινιστὶ δείκνυται ἐκ τοῦ χωρίου ἔνθα λέγεται, ὅτι τὸ τοῦ Ἀποστόλου Παύλου: «Ἔχοντες δὲ διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα» (Α΄ Τιμ. ς΄ 8) μεταφραστέον ἐκ τοῦ ἑλληνικοῦ εἰς τὸ λατινικὸν ὧδε: «Habentes autem alimenta et operimenta» (1), ἢ ἔνθα διορθοῖ τὴν λατινικὴν μετάφρασιν (2).

Ὁ Πατριάρχης Φώτιος ἀνέγνω τὴν ἑλληνιστὶ συντεταγμένην ἐπιτομὴν τούτου τοῦ συγγράμματος, ὅπερ καὶ ἀποθαυμάζει. «Χρήσιμα (λέγει), εἴπερ τι ἄλλο, τὰ λόγια ταῦτα τοῖς αἱρουμένοις τὸν ἀσκητικὸν ἀναδέχεσθαι ἀγῶνα· καὶ ἐπὶ τοσοῦτον τὸ δυνατὸν καὶ θεῖον αὐτοῖς περίεστιν, ὥστε καὶ μέχρι νῦν, εἴτι κατὰ τοὺς τύπους τουτουσὶ καὶ τὰ διατάγματα μοναχικὸν σύστημα πολιτεύοιτο, ἀνθεῖ τε τέως ἀληθῶς, καὶ τῶν ἀρετῶν ὁρᾶται ἐργαστήριον. — Δεσποτικῆς γὰρ ταῦτα νομοθεσίας, καὶ τῆς εὐαγγελικῆς ἐστιν ἀνάπτυξίς τε καὶ ἐξάπλωσις πολιτείας. Ἔστι δ' αὐτῷ οἰκεῖα τοῖς διανοήμασι καὶ τὰ ῥήματα, τό τε σαφὲς ἀποστίλβοντα, καὶ τὸ ῥᾳδίως καὶ ἀνεπαχθῶς ἐγχαράσσεσθαι ταῖς ψυχαῖς τὴν χάριν κληρωσάμενα» (3).

Ἐν ταῖς 24 Διαλέξεσι (Collationes) [β] τῶν Πατέρων περιέχονται ὁμιλίαι τῶν πατέρων τῆς ἐρήμου περὶ ποικίλων πνευματι-

[*] Χωρία ἐκ τοῦ δευτέρου μέρους αὐτοῦ διέσωσεν ὁ Λεόντιος (ἐν τῷ ς΄ αἰῶνι), ἐκδοθέντα ὑπὸ τοῦ Μαΐου (Vet. auctor. T. VII, p. 96-98. 103) καὶ ὑπὸ τοῦ Μοντφωκονίου (T. III, S. Athanas. p. 384). Ἅπαν τὸ τελευταῖον μέρος κατεχωρίσθη ἐν τῇ Φιλοκαλίᾳ. Ἐν τῇ βιενναίᾳ βιβλιοθήκῃ εὑρίσκονται ἀμφότερα τὰ μέρη τῆς ἐπιτομῆς Theol. 240. Τὸ α΄ μέρος: «τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἀββᾶ Κασσιανοῦ τοῦ Ῥωμαίου πρὸς τὸν ἐπίσκοπον Κάστορα»· τὸ β΄: «τοῦ αὐτοῦ περὶ τῶν ὀκτὼ λογισμῶν». Βλ. Cod. 315, 316. Lambec. Comm. V. p. 333, 4, p. 276.

(1) Lib. I, c. 3.

(2) Lib. V, c. 16.

(3) Ἀνάγν. 197.

[β] «Collatio, λέγει ὁ Ἀββᾶς Σμάραγδος, est collocutio et confabulatio, ubi de Scripturis divinis, aliis conferentibus interrogationes, conferunt alii congruas responsiones; et sic quæ diu latuerant occulta, conferentibus fiunt perspicua» (in Commentar, super Regul. S. Benedicti c. 40).

κῶν ὑποθέσεων: οἷον περὶ τοῦ σκοποῦ καὶ τοῦ τέλους τῆς μοναδικῆς πολιτείας [γ] 1], περὶ διακρίσεως (de discretione) 2], περὶ τῶν τριῶν ἀποτάξεων ἢ τῶν βαθμῶν τῆς ἀποτάξεως ἀπὸ τοῦ κόσμου 3], περὶ τῆς ἐπιθυμίας τῆς σαρκὸς καὶ τοῦ πνεύματος 4], περὶ τῶν ὀκτὼ κεφαλαιωδῶν ἁμαρτημάτων 5], περὶ τοῦ φόνου τῶν ἁγίων μοναχῶν ἐν τῇ μεγάλῃ ἐρήμῳ τῆς Παλαιστίνης παρὰ τὴν Ἀραβίαν ὑπὸ σαρακηνῶν ληστῶν διαπραχθέντος καὶ καθόλου περὶ τῶν συμφορῶν, ἃς ἡ θεία Πρόνοια παραχωρεῖ ὑφίστασθαι καὶ τοὺς εὐσεβεῖς, ἐπ' ἴσης περὶ τῶν πειρασμῶν, οἵτινες ἔσθ' ὅτε συμβαίνουσι καὶ τοῖς δικαίοις 6], περὶ τῆς ἀκαταστασίας τῆς ψυχῆς καὶ περὶ τῆς φύσεως καὶ τῆς δυνάμεως, τῆς γενέσεως καὶ τῆς ποικιλίας τῶν πονηρῶν δαιμόνων, αἵτινες λυμαίνονται τὸ σῶμα καὶ τὴν ψυχὴν τοῦ ἀνθρώπου 7 καὶ 8], περὶ προσευχῆς 9 καὶ 10], περὶ τῆς τελείας ἀγάπης 11], περὶ ἁγνείας, ἥτις προέρχεται κατ' ἐξοχὴν ἐκ τῆς θείας χάριτος 12], περὶ τῆς προστασίας τοῦ Θεοῦ 13], περὶ τῆς πνευματικῆς γνώσεως ἢ τῆς πνευματικῆς καταλήψεως τῆς ἁγίας Γραφῆς 14], περὶ τῶν θείων χαρισμάτων 15], περὶ τῆς ἀληθοῦς φιλίας καὶ τῆς καθολικῆς ἀγάπης 16], περὶ τῆς ὀρθῆς χρήσεως τῆς γλώσσης 17], περὶ τῶν τεσσάρων εἰδῶν τῶν μοναχῶν 18], περὶ τῆς ζωῆς τοῦ κοινοβιάτου καὶ τοῦ ἐρημίτου 19], περὶ μετανοίας 20], περὶ νηστείας 21], περὶ τῶν νυκτερινῶν πειρασμῶν 22], ἑρμηνεία τοῦ: «οὐ γὰρ ὃ θέλω, τοῦτο πράσσω» 23], περὶ νεκρώσεως (de mortificatione) 24].

Ἐν τῇ ιγ' Διαλέξει πραγματεύεται ὁ ἅγιος Κασσιανὸς περὶ τῶν μεταξὺ Πελαγίου καὶ Αὐγουστίνου ἀμφισβητημάτων, καί, ἐλέγχων ἀμφοτέρους, οὐδέτερον αὐτῶν ὀνομαστὶ καλεῖ. Αἱ περὶ χάριτος δοξασίαι αὐτοῦ δύνανται ἐκτεθῆναι ὧδε:

α'] Διὰ τῆς πτώσεως τοῦ Ἀδὰμ εἰσῆλθεν εἰς τὴν φύσιν ἡμῶν ἡ

Τὰς Συνδιαλέξεις (Collationes) ταύτας τοῦ ἁγίου Κασσιανοῦ λίαν ἐπαινοῦσιν ὁ Γεννάδιος, ὁ ἅγιος Βενέδικτος, οἱ διάσημοι τῆς ρωμαϊκῆς Ἐκκλησίας συγγραφεῖς Δομίνικος καὶ Θωμᾶς ὁ Ἀκουΐνος, καὶ ἄλλοι πολλοί. Σ. Μ.

[γ] Ἐν ταύτῃ τῇ Διαλέξει δείκνυται, ὅτι τέλος μὲν τῆς μοναδικῆς πολιτείας ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ, σκοπὸς δὲ ἡ καθαρότης τῆς καρδίας, ἥτις ἐστὶν ἡ ἀγάπη. Σ. Μ.

ἀσθένεια, καὶ ἐντεῦθεν ἔνεστιν ἡμῖν τὸ προπατορικὸν ἁμάρτημα (1). Εἰ δέ τινες δοξάζουσιν ἄλλως περὶ τούτου, ἡ δοξασία αὐτῶν ἐστιν ἀσεβής (2).

β′] «Φυλακτέον ὅμως, ὅπως μὴ ἀναφέρωμεν πρὸς τὸν Κύριον ἁπάσας τὰς τῶν ἁγίων ἀρετὰς οὕτως, ὥστε μηδὲν ἄλλο ἀποδιδόναι τῇ ἀνθρωπίνῃ φύσει, ἢ ὅ,τι ἐστὶ κακὸν καὶ διεστραμμένον» (3).

γ′] «Ἀδύνατον ἀμφιβάλλειν, ὅτι τῇ ἡμετέρᾳ ψυχῇ φυσικῶς, κατ᾿ ἀγαθότητα τοῦ Δημιουργοῦ, ἐνυπάρχουσι σπέρματα ἀρετῆς· ἀλλ᾿ ἄνευ τῆς βοηθείας τοῦ Θεοῦ τὰ σπέρματα ταῦτα οὐ δύνανται ἐνεγκεῖν τέλειον καρπόν» (4). «Οὐ μόνον οὐ δυνάμεθα ἐφικέσθαι τῆς τελειότητος τῶν ἀρετῶν ἄνευ τῶν τοῦ ἀνθρώπου προσπαθειῶν, ἀλλὰ καὶ διὰ μόνον τῶν προσπαθειῶν, χωρὶς τῆς θείας χάριτος, ἐφικέσθαι πρὸς τὴν τελειότητα ἀμήχανον».

δ′] Τῇ χάριτι τοῦ Θεοῦ ἡ θύρα τῆς σωτηρίας ἀνέῳκται ἅπασιν, αἱ δὲ ἀξιομισθίαι (merita) τοῦ Λυτρωτοῦ ἐκτείνονται ἐφ᾿ ἅπαντας. «Πῶς ἄνευ ὑπερβαλλούσης ἱεροσυλίας δύναταί τις φρονεῖν, ὅτι δῆθεν Ἐκεῖνος, ὃς οὐ βούλεται τὴν ἀπώλειαν καὶ ἑνὸς τῶν μικρῶν τούτων, οὐ βούλεται σωθῆναι ἅπαντας καθόλου, ἀλλ᾿ ἐνίους ἀντὶ ἁπάντων;» (6). «Εἰ οὐχ ἅπαντας καθόλου καλεῖ, ἀλλ᾿ ἐνίους, ἑπόμενόν ἐστιν, ὅτι οὐδ᾿ ἅπαντές εἰσι βεβαρημένοι εἴτε ὑπὸ τοῦ προπατορικοῦ, εἴτε ὑπὸ τοῦ πραγματικοῦ ἢ προσωπικοῦ (actuali) ἁμαρτήματος (7).

Πρόσπερος ὁ ἐξ Ἀκυτανίας, εἷς τῶν διαπύρων θαυμαστῶν τοῦ Αὐγουστίνου, ἐπέκρινεν (τῷ 432) αὐστηρῶς τὰς δοξασίας τοῦ Κασσιανοῦ, ἤ, κατὰ τὴν ἔκφρασιν αὐτοῦ, τοῦ Διαλεγομένου (Collatoris). Ἀλλ᾿ ὁ Κασσιανὸς ἐν ταῖς δοξασίαις αὐτοῦ ἠρείδετο ἐπὶ τῆς πείρας

(1) C. VI, VII. Collat. XX. c. XI. XXII. c. VII, IX-XI.

(2) Collat. XIII. c. 16.

(3) Ibid. c. XII.

(4) C. XII. πρβλ. c. IX.

(5) Collat. XII. c. XVI. «Non solum namque ipsam perfectionem oportet credere nostra industria, nos vel labore nostro possidere non posse, sed ne hæc ipsa quidem quæ illius exercemus obtentu, id est labores, conatusque nostros ac studia, sine divinæ protectionis auxilio, inspirationisque ejus et castigationis atque exhortationis gratia posse perficere, quam scilicet cordibus nostris vel per alium solet, vel per semetipsum nos visitans clementer infundere».

(6) Collat. XIII. c. VII.

(7) Collat. XIII. c. VII.

ἀνδρῶν διελθόντων μετὰ προσοχῆς τοὺς βαθμοὺς τοῦ πνευματικοῦ βίου, καί, ἔχων ὑπ᾽ ὄψει τὸν Αὐγουστῖνον, ἔγραψε: «τὴν χάριν πολλῷ ἧττον δεῖ ὑπερασπίζειν περιττολογίαις καὶ πολυλόγοις φιλονεικίαις, διαλεκτικοῖς συλλογισμοῖς καὶ κικερωνείῳ εὐγλωττίᾳ, ἢ τοῖς παραδείγμασι τῶν ἀσκητῶν τῆς Αἰγύπτου (2). Ὁ Κασσιανὸς ὑπερασπίζει τὸ ὀρθὸν τῆς μέσης ὁδοῦ μεταξὺ τῆς τοῦ Αὐγουστίνου καὶ τῆς τοῦ Πελαγίου, καὶ ἡ ἀνατολικὴ Ἐκκλησία οὐδέποτε ἐπεδοκίμασε τὰς ὑπερβολὰς ἀμφοτέρων. Κατὰ τὴν ἀπόφασιν τοῦ ὁσίου Ἰωάννου τοῦ τῆς Κλίμακος ὁ μέγας Κασσιανὸς κρίνει ἐξαιρέτως καὶ ὑψηλῶς(2).

§. 203. Ἡσύχιος ὁ Ἱεροσολυμίτης.

Ἐν τῇ αὐτῇ Παλαιστίνῃ, ἔνθα ἐπὶ μακρὸν χρόνον διέτριψεν ὁ ἅγιος Κασσιανός, κατὰ τὸν αὐτὸν χρόνον ἤκμασεν ὁ μαθητὴς ἄλλου οἰκουμενικοῦ διδασκάλου τοῦ τετάρτου αἰῶνος Ἡσύχιος [α] ὁ πρεσβύτερος Ἱεροσολύμων (3). Τελευτήσαντος τοῦ περιφανοῦς αὐτοῦ διδασκάλου Γρηγορίου τοῦ Θεολόγου (4), διῆγεν ἀσκητικὸν βίον ἔν τινι τῶν τῆς Παλαιστίνης ἐρήμων, ἔνθα οὐκ ἐπαύετο μελετῶν τὸ πνεῦμα τοῦ χριστιανισμοῦ, τὸ μὲν ἐν τοῖς βιβλίοις, τὸ δὲ ἐν τοῖς πρὸς τοὺς συγχρόνους αὐτῷ ἀσκητὰς τῆς Παλαιστίνης διαλόγοις (5). Τῷ 412 ἐχειροτονήθη ὁ σοφὸς ἀσκητὴς ὑπὸ τοῦ ἀρχιεπισκόπου τῶν Ἱεροσολύμων πρεσβύτερος (6), καὶ ἔκτοτε ἑνῶν τῷ ἀξιώματι τούτῳ τὴν κλῆσιν τοῦ κήρυκος τοῦ θείου λόγου ἐπιφαίνεται ἐν τῇ ἱστορίᾳ τῆς Ἐκκλησίας ὡς εἷς τῶν διασήμων διδασκάλων (7). « Ὁ μέγας Εὐθύ-

(1) De instit. coenob. XII. 13.

(2) Κλιμ. 4.

[α] Τὸν Ἡσύχιον τοῦτον, τὸν τῶν θείων Γραφῶν σοφὸν ἑρμηνευτήν, οὐ δεῖ συγχέειν τῷ κατὰ τὸ 601 ἀκμάσαντι ἑτέρῳ Ἡσυχίῳ, ἐπ᾽ ἴσης πρεσβυτέρῳ καὶ ὕστερον Πατριάρχῃ Ἱεροσολύμων. Σ. Μ.

(3) Βλ. Μηνολογ. τοῦ Αὐτοκράτ. Βασιλ. κγ´ Μαρτίου.

(4) Τριθέμ. de Script. ecclesiast. Σῆξτος ὁ ἐκ Σιέννης Biblioth. Sancta lib. IV.

(5) Ἐν τῷ Μηνολόγ. τοῦ Βασιλ. ἀναγινώσκομεν: «Πᾶσαν Γραφὴν εἰς ἄκρον ἐκμελετήσας, ἐπλούτησε γνῶσιν εἰς Θεόν».

(6) Χρονογρ. Θεοφάν. σελ. 71, edit. Paris.

(7) Χρονογρ. Θεοφάν. σελ. 71. «Τῷ δ᾽ αὐτῷ ἔτει ἤνθει ταῖς διδασκαλίαις Ἡσύχιος πρεσβύτερος Ἱεροσολύμων». Πρβλ. Μηνολόγ.

μιος, ὡς γράφει ὁ μαθητὴς αὐτοῦ Κύριλλος ὁ Σκυθοπολίτης, ἔχαιρε καὶ μεστὴν εἶχε τὴν ψυχὴν εὐθυμίας, ὅτι ὁ Πατριάρχης Ἰουβενάλιος, ἀφικόμενος εἰς τὴν Λαύραν, ἵν' ἐγκαινίσῃ τὸν ἐν αὐτῇ ναόν, παρέλαβε μεθ' ἑαυτοῦ τὸν τοῦ λοιποῦ τῶν ἀσκητῶν χοροῦ τηνικαῦτα προλάμποντα Ἡσύχιον τὸν θεῖον» ([1]). Τῷ 433 ἐξεδήμησε πρὸς Κύριον ([2]).

Ὁ Ἡσύχιος ἐγένετο ἄξιος μαθητὴς Γρηγορίου τοῦ Θεολόγου κατὰ τὰς σοφὰς αὐτοῦ ἀσχολίας. Τὸ Μηνολόγιον τοῦ αὐτοκράτορος Βασιλείου λέγει περὶ αὐτοῦ τάδε: «Πᾶσαν Γραφὴν ἡρμήνευσέ τε καὶ διεσάφησε, καὶ εἰς πολλῶν προέθηκεν ὠφέλειαν. Ἐντεῦθεν γενόμενος τοῖς πᾶσι περιβόητος καὶ θαυμαστός, καί τὸν Θεὸν παντοίως θεραπεύσας . . . »

1] Τὰ ἑρμηνευτικὰ συγγράμματα τοῦ Ἡσυχίου εἰσὶ νῦν γνωστὰ ἐκ τῶν χειρογράφων μᾶλλον, ἢ ἐκ τῶν τοῖς ἅπασι προσιτῶν ἐκδόσεων. Τὸ μακρότατον τῶν νῦν γνωστῶν ὑπομνημάτων αὐτοῦ ἐστιν ἡ ἐν ἑπτὰ βιβλίοις ἑρμηνεία εἰς τὸ Λευϊτικόν· ἀλλὰ καὶ αὕτη ἐστὶ γνωστὴ μόνον ἐν τῇ ἀρχαίᾳ λατινικῇ μεταφράσει ([3]). Ἐν τῷ προλόγῳ λέγει, ὅτι ἐν τῷ Λευϊτικῷ ἀπαντῶσιν «ἔνια ἀνάρμοστα, ἅτινα δύνανται διασαφηνισθῆναι μόνον τῇ πνευματικῇ σημασίᾳ τῶν τελετῶν τοῦ νόμου». Ἐντεῦθεν ἀπαντῶσιν ἐν τῇ ἑρμηνείᾳ αὐτοῦ λίαν συχνῶς ἔρευναι τῆς μυστικῆς ἐννοίας τῶν λόγων τοῦ βιβλίου. Ἡ

([1]) Βίος καὶ πολιτεία τοῦ ὁσίου Πατρὸς ἡμῶν Εὐθυμίου ap. Coteler. monum. Eccles. Gr. T. II, pag. 253-254.

([2]) Θεοφάν. χρονογρ. σελ. 79. Ἄγνωστον διὰ τί ὁ Ἡσύχιος οὗτος οὐκ ἔστιν ἐν τῷ Μηναίῳ τῇ κη' Μαρτίου καθ' ἣν ὡρίσθη ἐν τῷ Μηνολογίῳ τοῦ Βασιλείου ἑορτάζειν τὴν μνήμην αὐτοῦ· τῇ ε' Μαρτίου τελεῖ ἡ Ἐκκλησία τὴν μνήμην τοῦ ὁσίου Ἡσυχίου· ἀλλ' ἐπειδὴ οὐ πολλὰ λέγονται ἐνταῦθα περὶ αὐτοῦ πιθανώτατον, ὅτι ἐστὶν ἄλλος Ἡσύχιος. Ἐν τῷ κανόνι τοῦ ὁσίου Θεοδώρου τοῦ Στουδίτου μνημονεύεται Ἡσύχιος ὁ Θεολόγος.

([3]) Ἐξεδόθη ἐν Βασιλείᾳ (Basiliæ) τῷ 1527· ἐν Παρισίοις τῷ 1581. Συνεγράφη χάριν τοῦ διακόνου Εὐτυχιανοῦ, καὶ ἦν γνωστὴ τῷ Ἀμαλαρίῳ, τῷ Στράβωνι, καὶ τῷ Ραβανῷ Μαύρῳ (ἐν τῷ θ' αἰῶνι). Αἱ εἰς τὸ Λευϊτικὸν ὁμιλίαι τοῦ Ἡσυχίου μετεφράσθησαν ἀρμενιστὶ κατὰ τὸν η' αἰῶνα (Neumann Gesch. d. Arm. Litteratur, 5, III).

ἀξιοσημείωτος τῶν ἐν τῇ ἑρμηνείᾳ ταύτῃ ἰδιοτήτων ἐστὶν ὅτι ἀπαντῶσιν ἐν αὐτῇ πάνυ συχνῶς σημειώσεις περὶ τῶν διαφωνιῶν τοῦ κειμένου τῶν Ο΄ πρός τε τὰς ἄλλας ἑλληνικὰς μεταφράσεις καὶ πρὸς τὴν Βουλγάταν τοῦ Ἱερωνύμου. Οἱ πόνοι τοῦ ἐρημίτου τῆς Βηθλεὲμ ἦσαν γνωστοὶ τῷ πρεσβυτέρῳ τῆς Ἱερουσαλὴμ καὶ ἐξετιμῶντο ὑπ᾽ αὐτοῦ. Ἐκτὸς τῆς εἰς τοὺς ψαλμοὺς ἑρμηνείας (1) καὶ τῆς βραχείας ἀναλύσεως τῶν δώδεκα ἐλασσόνων προφητῶν (2) ἐστι κατ᾽ ἐξοχὴν ἀξία λόγου ἡ συναγωγὴ ἀποριῶν καὶ ἐπιλύσεων, ἐκλεγεῖσα ἐν ἐπιτομῇ ἐκ τῆς εὐαγγελικῆς συμφωνίας (3). Κατὰ τὸν Ἡσύχιον ἡ τρίτη ὥρα τοῦ Μάρκου ἐστὶν ἐκείνη, καθ᾽ ἣν ὁ Πιλάτος, ἀποδεξάμενος τὴν αἴτησιν

(1) Ἐν τῇ Σειρᾷ τῶν ἑρμηνειῶν τῶν Πατέρων εἰς τοὺς ψαλμοὺς ἐξεδόθησαν ὑπὸ τοῦ Κορδερίου Τ. 1. III. Antverpiæ, 1634. Ἐν τῇ εἰς τὰς καθολικὰς Ἐπιστολάς, κατὰ τὴν ἔκδοσιν τοῦ Κραμέρου (Catena in Epistolas catholicas. Oxonii, 1840). Ὁ Κορδέριος, κατὰ τὸν Οὐόλφιον, ἐξέδωκε λίαν ἡμαρτημένως τὸ κείμενον τοῦ Ἡσυχίου. (Βλ. Cramer, praef. ad caten. in Evangel. Mathaei, p. 8. Oxonii, 1840). Ἡ εἰς τοὺς ψαλμοὺς ἑρμηνεία εὑρίσκεται ἐν τῇ Βιβλιοθ. τῆς Βενετίας Nanian. Codex. 24, 31. Catal. cod. Nanian. p. 28. Ἡ εἰς δύο ψαλμοὺς ἑρμηνεία ἐξεδόθη ἐν τῇ ἀγγλ. βιβλ. Catal. cod. angl. T. I. p. 270. II. p. 186. Ἐν τῇ Κοϊσλ. βιβλ. cod. 80, 81, 187-189. Ἐν τῷ ιγ΄ αἰῶνι ὁ μοναχὸς Ἰωάννης κατεχώρισεν ἐν τῇ ἑρμηνείᾳ αὐτοῦ εἰς τὸν Ἰὼβ χωρία ἐκ τῆς τοῦ Ἡσυχίου εἰς τὸ αὐτὸ βιβλίον. (Neumann Gesch. d. Armen. Litt. σ. 184).

(2) Ἐξεδόθη ὑπὸ τὴν ἐπιγραφήν: Στιχηρὰ sive capitula in XII prophetas minores Hesychii, quæ . . . Riterhusii Amberg. 1604,8.

(3) Ἐξεδόθη ἐν τῷ ια΄ τόμῳ τῆς Βιβλιοθ. τοῦ Γαλλανδίου σελ. 221. Ὁ Μοντεφαλκόνιος ἐξέδωκε τὸ σύγγραμμα τοῦτο ὑπὸ τὸ ὄνομα τοῦ Σευήρου Bibl. Coislin. p. 68-71. Ὁ Δουκαῖος κατεχώρισεν αὐτὸ ἐν τοῖς συγγράμμασι Γρηγορίου τοῦ Νύσσης. Op. S. Gregor. T. III. p. 400. Parisiis. Ὁ Κομβεφίσιος ἔκ τε τῆς διαφορᾶς τῆς λέξεως καὶ τοῦ ἀσυμφώνου τῶν ἐννοιῶν ἀπέδειξεν, ὅτι οὐκ ἀνήκει εἰς τὸν Γρηγόριον. Κατὰ δὲ τὰ χειρόγραφα ἀποδοτέον τῷ Ἡσυχίῳ· Auctar. nov. T. I. p. 743, 775. Τέλος ὁ Κοτελέριος ἐκδοὺς (Monum. gr. Eccles. T. III. p. 1-53) τὴν ἐπιτομὴν τῆς τοῦ Ἡσυχίου συμφωνίας ἐξ ἀρχαίου χειρογρά-

τῶν Ἰουδαίων, διέταξε φραγκελῶσαι τὸν Ἰησοῦν, ἡ δ' ἕκτη τοῦ Ἰωάννου ἐστὶν ἐκείνη, καθ' ἣν παρέδωκεν Αὐτὸν αὐτοῖς τέλεον, ἵνα σταυρωθῇ. Τὸ σύγγραμμα τοῦτό ἐστι μέρος τῆς Εὐαγγελικῆς συμφωνίας Ἡσυχίου τοῦ πρεσβυτέρου Ἱεροσολύμων, γνωστῆς νῦν μόνον οὔσης ἐν ἐπιτομῇ. Δυστυχῶς καὶ ἄλλα αὐτοῦ πονήματα ἀφορῶντα εἰς τὴν ἁγίαν Γραφὴν μένουσιν ἐν χειρογράφοις (1).

2] Δώδεκα ὁμιλίαι τοῦ ἁγίου Ἡσυχίου εἰσὶ καὶ νῦν γνωσταί. Ὑπόθεσις δ' αὐτῶν εἰσι τὰ γεγονότα τοῦ βίου αὐτοῦ τοῦ Ἰησοῦ Χριστοῦ καὶ τῆς παναμώμου Αὐτοῦ Μητρός, ἢ οἱ ἅγιοι τοῦ Θεοῦ, οἷς ἀγωνιστήριον ἐγένετο κατ' ἐξοχὴν ἡ ἁγία Γῆ (2). Μιᾶς αὐτῶν

φου, κατέστησε γνωστὸν τὸ ὄνομα τοῦ συγγραφέως τῆς μνημονευθείσης Συμφωνίας (ib. p. 521), διότι ἐν αὐτῇ περιέχεται καὶ ἡ τῶν διηγήσεων περὶ τοῦ θανάτου τοῦ Χριστοῦ.

(1) Ὁ ἀρμένιος ἀρχιεπ. Στέφανος μετέφρασεν ἐν τῷ η' αἰῶνι εἰς τὴν ἀρμεν. γλῶσσαν τὰς εἰς τὸν Ἰὼβ ὁμιλίας τοῦ ἁγ. Ἡσυχίου· κατὰ δὲ τὸν ιγ' αἰῶνα ὁ μοναχὸς Ἰωάννης κατεχώρισεν ἐν τῇ ἑρμηνείᾳ αὐτοῦ χωρία ἐκ τῆς ἑρμηνείας ταύτης τοῦ Ἡσυχίου (Neumann Gesch. d. arm. Litt. III, 184). ἀλλὰ τὸ πρωτότυπόν ἐστιν ἄχρι τοῦ νῦν ἄγνωστον. Ἑρμηνεῖαι τοῦ Ἡσυχίου σώζονται ἐν ταῖς Σειραῖς τῶν ἑρμηνειῶν : α'] εἰς τὴν Πεντάτευχον καὶ εἰς τὰς ᾠδὰς τῶν Προφητῶν (Cat. ed. Flor. 1547. Coloniæ, 1572. Patav. 1564. Πρβλ. Bandini cat. cod. Laurent. 1, 19, 92. Lambec. Comment. Vindob. 4, 593), β'] εἰς τὰ βιβλία τῶν βασιλειῶν in cod. Venet. Marcian. 16. Catal. cod. Venet. p. 17, 19, in Bibl. Coislin. cod. 8)· γ'] εἰς τὸ Εὐαγγέλιον τοῦ Λουκᾶ in Bibl. Coislin. cod. 201 καὶ εἰς ἅπαντα τὰ 4 Εὐαγγέλια (in Laur. cod. (36. plut. 6. Bandin. catal. 1, 161. in Coislin. c. 27, 106)· δ'] ἐν τῇ σειρᾷ εἰς τὰς Πράξ. τῶν Ἀπ. τῇ ἐκδοθείσῃ ὑπὸ Κραμέρου Oxonii 1838 σώζονται χωρία ἐκ τῆς ἑρμηνείας εἰς τὸ «ὅτι παρέστη ἐκ δεξιᾶς πένητος».

(2) Μέρος τοῦ λόγου εἰς τὴν Γέννησιν τοῦ Χριστοῦ ἐξέδωκεν ὁ Ducange in chronic. Paschal. sive Alexandrin. p. 924· τὸ δ' ἕτερον μέρος in Paris. cod. 854 ap. Bandin. Catal. cod. Laurent. I, 525. Δύο ὁμιλίαι εἰς τὸν Εὐαγγελισμὸν τῆς Θεοτόκου ἐξεδόθησαν ἑλλην. καὶ λατιν. in XII tom. Bibliothec. magn. 1644, 1645. in Duc. Auctor. II. 421.

ἄρχεται ὧδε: «Πᾶσα μὲν μνήμη δικαίων πανεύφημος καὶ πᾶσα πανήγυρις θεοφιλῶν εὐκλεής, πάντες ὑπὲρ τῆς εὐσεβείας ἠρίστευσαν, πάντες τοὺς πόνους ὑπὲρ τῆς ἀληθοῦς ὁμολογίας ὑπεδέξαντο, πάντες διὰ τοὺς τῆς ἀληθείας στεφάνους τοῖς κινδύνοις ἐνεκβάχευσαν. Ἡ δὲ παροῦσα νῦν ἡμέρα τῆς ἑορτῆς ὑπερένδοξος. Παρθένου γὰρ περιέχει πανήγυριν, ἥτις τοσοῦτον ὑπερέβαλε πάσας, ὡς καὶ αὐτὸν τὸν Θεὸν Λόγον ἐθέλοντα ὑποδέξασθαι χωρηθέντα παρ' Αὐτῆς ἀστενοχωρήτως. Πρὸς ἣν πρὸ τοῦ παντὸς ὁ τῶν ἀρχαγγέλων Γαβριὴλ ἀνεβόησε πρῶτος: χαῖρε, κεχαριτωμένη, ὁ Κύριος μετὰ Σοῦ. . . (1). Ὁ Πατριάρχης Φώτιος διέσωσε τὰ ἑπόμενα πάνυ σπουδαῖα ῥήματα τοῦ ἁγίου Ἡσυχίου ἐκ τοῦ λόγου αὐτοῦ εἰς Ἰάκωβον τὸν ἀδελφὸν τοῦ Κυρίου: « . . . ἐγκωμιάσω τὸν τοῦ Χριστοῦ δοῦλον καὶ ἀδελφόν, τὸν τῆς νέας Ἱερουσαλὴμ ἀρχιστράτηγον; τὸν τῶν ἱερέων ἡγεμόνα, τῶν Ἀποστόλων τὸν ἔξαρχον, τὸν ἐν κεφαλαῖς κορυφήν, τὸν ἐν λύχνοις ὑπερλάμποντα, τὸν ἐν ἄστραις ὑπερ-

ὁ λόγος εἰς τοὺς Ποιμένας τῆς Βηθλεέμ in Taurin cod. 135. n. 46. Ὁ λόγος εἰς τὴν Ὑπαπαντὴν τοῦ Κυρίου in Parisian. Bibl. cod. 1185, 1504. in Bibl. Augub. Reiseri catal. cod. p. 9. Σλαβιστὶ ἐν τῇ Βιβλιοθ. τῆς ἐν Μόσχᾳ Ἐκκλ. Ἀκαδημ. Ὁ λόγος εἰς τὸν Ἀπόστολον Ἀνδρέαν ὁ ὑπὸ τοῦ Φωτίου περιγραφόμενος (ἀνάγν. 269) ἐξεδόθη λατινιστὶ in Bibl. Patrum Lugd. T. XII. p. 188. in Combefis. Bibl. Consion. Tom. VI. ἑλληνιστὶ in Bibl. Vien. Lambec. Comm. VIII, 745. Εἰς τοὺς Ἀποστόλους Πέτρον καὶ Παῦλον ἐν χειρογρ. ap. Fabric. Bibl. IX. 918. X. 310. Σλαβ. ἐν τῇ Βιβλ. τῆς ἐν Μόσχᾳ ἱερᾶς Μονῆς τοῦ ἁγίου Σεργίου. Ὁ λόγος εἰς τὸν τεταρταῖον Λάζαρον: «Δεῖπνον ἡμῖν πολυτελές. . . » in Bibl. Vien. c. 32. Lambec. VIII. p. 745, ἐξεδόθη ὑπὸ τοῦ Μαΐου in Tom. VII. Collect. Vet. Auct. Εἰς τὸν ἅγ. Προκόπιον τὸν Μάρτυρα: «Προκοπίῳ τὴν θυσίαν ὁ Χριστὸς ἐστεφάνωσε ταῦρον αὐτὸν ἰδών» ap. Fadric. Bibl. X. 317. Εἰς τὴν σύλληψιν τοῦ Προδρόμου in Montfaucon. Bibl. coisl. p. 196. ὁ λόγος εἰς τὸν Θεοπάτορα Δαυῒδ παρὰ Φωτίῳ ἀνάγν. 275. Εἰς τὴν Ἀνάστασιν τοῦ Χριστοῦ ἐξεδόθη ὑπὸ Κομβεφισίου in tom. Auct. nov. p. 743.

(1) M. Bibl. Patr. Lugd. T. XII. p. 185.

φαίνοντα; Πέτρος δημηγορεῖ, ἀλλ' Ἰάκωβος νομοθετεῖ, καὶ ὀλίγαι λέξεις τὸ τοῦ ζητήματος συνέστειλαν μέγεθος . . . » ([1]).

3] Τὸ διασωθὲν μέρος τῆς ἐκκλησιαστικῆς αὐτοῦ ἱστορίας ([2]) καὶ τὸ μαρτύριον τοῦ ἁγίου καὶ ἐνδόξου μάρτυρος τοῦ Χριστοῦ Λογγίνου τοῦ ἑκατοντάρχου ([3]) δεικνῦσιν, ὅτι ἠσχολήθη περὶ τὰ γεγονότα ἐν τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ. « Ἐγὼ Ἡσύχιος πρεσβύτερος Ἱεροσολύμων, πολλὰ ἐρευνήσας μετὰ πολλοῦ καμάτου, ἠδυνήθην εὑρεῖν τοῦ ἁγίου Λογγίνου τοῦ ἑκατοντάρχου, τοῦ ἐπὶ τοῦ Σταυροῦ τοῦ Χριστοῦ εἰπόντος: Ἀληθῶς Θεοῦ Υἱὸς ἦν οὗτος, τὸ μαρτύριον· εὗρον δὲ αὐτὸ ἐν σχεδαρίῳ ἐν τῇ βιβλιοθήκῃ τῆς ἁγίας Ἀναστάσεως, καὶ συνέταξα αὐτοῦ τὴν ὁμολογίαν μετὰ καὶ τοῦ ἐγκωμίου ».

4] Κατ' ἐξοχὴν δὲ οἱ κατόπιν αἰῶνες ᾠκοδομοῦντο εἰς σωτηρίαν ὑπὸ τοῦ ἐξαιρέτου ἠθικοῦ συγγράμματος τοῦ ἁγίου Ἡσυχίου. Λόγος ψυχωφελὴς περὶ νήψεως καὶ ἀρετῆς, γραφέντος πρὸς τὸν μοναχὸν Θεόδουλον ([4]).

§. 204. Μάρκος ὁ Ἀσκητής.

Παρὰ τῷ ἁγίῳ Ἰωάννῃ τῷ Χρυσοστόμῳ ἐξεπαιδεύθησαν διὰ τὴν Αἴγυπτον δύο μεγάλοι ἄνδρες, ὧν ὁ μὲν εἷς ἦν Μάρκος ὁ κατ' ἐξοχὴν Ἀσκητὴς ἐπικληθείς, Αἰγύπτιος τὸ γένος, ἐν τῷ ὄρει τῆς Νιτρίας τοὺς ἱεροὺς τῆς ἀσκήσεως διαθλήσας ἀγῶνας. Προελθὼν ὁ θεῖος οὗτος ἀνὴρ ἐπὶ τὸ ἄκρον τῆς ἀσκήσεως καὶ πάσης καθόλου ἀρετῆς, ἔλαβε παρὰ τοῦ Σωτῆρος Χριστοῦ τὸ χάρισμα τοῦ θαυματουργεῖν ([5]).

([1]) Ἀνάγν. 275.

([2]) Τὴν ἐν τῇ ἱστορίᾳ ταύτῃ περὶ Θεοδώρου τοῦ Μοψουεστίας μαρτυρίαν αὐτοῦ, παρέλαβεν ἡ Ε' Οἰκουμ. Σύνοδος ap. Binium Concil. T. II. p. II. p. 71. Τὴν ἱστορίαν ταύτην εἶχεν ὑπ' ὄψει τὸ ἀλεξ. χρον. σελ. 371, ed. Du-Cangii.

([3]) Ἐξεδόθη in Act. SS. Bolland. ad 15 Mart. gr. lat. p. 376-382. 736. Περὶ τοῦ βίου τοῦ Χρυσοστόμου in Taurin. p. 399.

([4]) Ἐξεδ. ἑλληνιστὶ ἐν Παρισίοις τῷ 1563 καὶ τῷ 1654. Ἑλλην. καὶ λατιν. in tom. I auctor, Ducaeani, in XI tom. Bibl. Morellianæ 1644.

([5]) Παλλάδ. Λαυσ. κεφ. 20. Μηνολόγ. τοῦ Αὐτοκρ. Βασιλ. Μαρτ. ε'.

Ὁ πρεσβύτερος τῆς Μονῆς ἅγιος Μακάριος ἔλεγεν, ὡς οὐδέποτε τῶν θείων μυστηρίων ἐπέδωκεν τῷ μοναχῷ Μάρκῳ, ἀλλ᾽ ἐν τῷ προσέρχεσθαι αὐτὸν ἄγγελος αὐτῷ μετεδίδου, οὗ ἐκ τοῦ ἀγκῶνος τὴν χεῖρα μόνον ἑώρα τὴν λαβίδα κατέχουσαν, δι᾽ ἧς ὁ ὅσιος τῶν ἁγιασμάτων μετεῖχεν (1). Ἡ ἀνάγνωσις τοῦ λόγου τοῦ Θεοῦ ἦν ἡ προσφιλὴς αὐτοῦ ἀσχολία καὶ ἐν τῷ νέῳ ἔτι τῆς ἡλικίας· ἦν δὲ πεπροικισμένος τοσοῦτον εὐρείᾳ μνήμῃ, ὥστε ἀπεμνημόνευσεν ἅπασαν τὴν Παλαιὰν καὶ τὴν Καινὴν Διαθήκην (2). Ὅλος δὲ φλεγόμενος ὑπὸ τοῦ πρὸς τὴν πνευματικὴν ἐκπαίδευσιν ἔρωτος, κατέταξεν ἑαυτὸν ἐν τοῖς ἀκροαταῖς καὶ μαθηταῖς τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου (3). Ὁ μὲν αὐστηρὸς βίος ἐδωρήσατο τῷ Μάρκῳ τὴν ὀνομασίαν τοῦ Ἀσκητοῦ ἐν τοῖς ἀσκηταῖς τῆς Νιτρίας καὶ ἐκόσμησεν αὐτὸν ἑκατὸν ἐτῶν γήρατι (4)· τὸ δ᾽ ἔμπειρον τοῦ πνευματικοῦ βίου καὶ ὁ πρὸς τὴν παιδείαν ἔρως ἔταξαν αὐτὸν εἰς τοὺς διδασκάλους τῆς πίστεως καὶ τῆς εὐσεβείας (5).

Τὰ συγγράμματα τοῦ ὁσίου Μάρκου, τὰ γνωστὰ τῷ Φωτίῳ (6) καὶ νῦν (7), εἰσὶ τάδε: α´] περὶ τῶν οἰομένων ἐξ ἔργων δικαιοῦσθαι· β´] περὶ μετανοίας τοῖς πᾶσι πάντοτε προσηκούσης εἰς τὴν δύναμιν τῆς ἐνεργείας· ἣν οἱ πιστοὶ καὶ πρὸ τῆς ἐργασίας διὰ τῆς χάριτος τοῦ βαπτίσματος ἔλαβον· γ´] ἀπόκρισις πρὸς τοὺς ἀποροῦντας περὶ τοῦ θείου Βαπτίσματος. Ἐν τῷ τελευταίῳ περιγράφει ἐξαιρέτως τὸ ἀναγκαῖον καὶ τὴν δύναμιν τοῦ Βαπτίσματος καὶ τὴν σχέσιν αὐτοῦ πρὸς τὸν χριστιανικὸν ἀγῶνα. δ´] Πρὸς Νικόλαον νουθεσίαι ψυχωφελεῖς περὶ τῶν πνευματικῶν μέσων, οἷς χρηστέον ἐν τῇ πρὸς τὴν ἁμαρτίαν πάλῃ. ε´] Κεφάλαια νηπτικὰ περὶ τῶν ποικίλων βαθμῶν τῆς πνευματικῆς τελειότητος. ς´] Ἀντιβολὴ πρὸς Σχολαστικὸν (συνδιάλε-

(1) Παλλάδ. αὐτόθ.
(2) Σωζόμ. ς´29.
(3) Νικηφ. ιδ´. 30, 54.
(4) Παλλάδ. αὐτόθ.
(5) Τὴν ἱερὰν αὐτοῦ μνήμην τελεῖ ἡ Ἐκκλησία τῇ ε´ Μαρτίου.
(6) Ἀνάγν. 200.
(7) Ἐξεδόθ. ἑλλην. καὶ λατιν. in Auctor. *Ducaeani* S. Patrum. T. I. in Galland. Bibl. T. VIII. in Patrol. *Migne* T. LXV.

ξις μετά τινος τῶν δικανικῶν), ὃς ἠρώτησε τὸν ὅσιον· «τί φρονοῦντες οἱ μοναχοί, φατὲ δεῖν τοὺς ἀδικοῦντας μὴ κρίνειν; ἢ τί μεταχειριζόμενοι, τῶν αἰσθητῶν ἔργων ἀπέχεσθε; ἐφ᾽ ᾧ λίαν καταμεμφόμεθα ὑμᾶς, ὡς τὴν μὲν ἀκρισίαν παρὰ τοὺς νόμους, τὴν δὲ ἀργίαν παρὰ τὴν φύσιν ἐπιτηδεύοντας»[α]. ζ΄] Συμβουλία νοὸς πρὸς τὴν ἑαυτοῦ ψυχὴν—περὶ τῶν πηγῶν τῆς ἁμαρτίας—περὶ κενοδοξίας καὶ ἡδονῆς· η΄] περὶ νηστείας, ἔνθα οὐ μόνον τὴν πνευματικὴν αὐτῆς ὠφέλειαν, ἀλλὰ καὶ τὴν ταπεινοφροσύνην πάνυ εὐγλώττως ἐξαίρει· θ΄] εἰς τὸν Μελχισεδέκ, ἔνθα δείκνυσιν, ὅτι ὁ Μελχισεδέκ ἐστιν ἀλληγορικὸν πρόσωπον (¹).

Ὁ Φώτιος λέγει, ὅτι τὰ συγγράμματα τοῦ ἁγίου Μάρκου εἰσὶν ἐνιαχοῦ ἀσαφῆ, καὶ ἐπιφέρει: «οὐχὶ μόνον τῷ ἀνδρί, ἀλλὰ μικροῦ πᾶσιν, οἷς ἀσκητικοὺς νόμους καὶ πάθη καὶ διαθέσεις δι᾽ ἔργων χωρούσας ἀπαγγέλλειν γέγονε σπουδή, ὁ τῆς τοιαύτης ἀσαφείας ἐνιαχοῦ συμπρόεισι τρόπος, τῆς ἐκ τῶν ἔργων αὐτῶν ἐπιγνώσεως οὔ τι μάλα στεργούσης τὰς διὰ τῶν ῥημάτων ἐπιδηλώσεις» (ἀνάγν. 200).

[α] «Ὁ δὲ μακάριος ἀσκητής, λέγει ὁ ἀοίδιμος Οἰκονόμος, ἔλυσε τὴν ἀπορίαν τοῦ λογιωτάτου δικανικοῦ διὰ λόγων θαυμαστῶν, καὶ ἱκανῶν θεραπεῦσαι τὴν ὑλομανῆ φρενῖτιν τῶν κοσμοδούλων, ὅσοι συκοφαντοῦσι τὴν μοναχικὴν πολιτείαν, ὡς πολέμιον τῆς φύσει κοινωνικῆς ἀνθρωπότητος, καὶ φυγόπονον ἀργίας μητέρα». (Περὶ τῶν Ο΄ ἑρμην. Τ. 4. σελ. 617). Σ. Μ.

(¹) Ὡς πρὸς τὸ σύγγραμμα: περὶ νόμου πνευματικοῦ, ὅπερ ὑπό τε τοῦ Δουκαίου καὶ ἄλλων τάσσεται ἐν τοῖς τοῦ ἁγίου Μάρκου, οὐδεμία ἀμφιβολία, ὅτι ἀνήκει εἰς τὸν ἅγιον Μακάριον, βλέπ. περὶ Μακαρίου. Νικηφόρῳ τῷ Καλλίστῳ (ιδ΄ 54). Ἦσαν γνωστὰ ἐκτὸς τῶν ἐκδεδομένων καὶ ἄλλα συγγράμ. τοῦ ἁγ. Μάρκου, ἐν οἷς, ὡς λέγει, διέρχεται ἁπάσας τὰς ὁδοὺς τοῦ ἀσκητικοῦ βίου. Κατὰ τὸν κατάλογον τῆς ἀγγλικῆς Βιβλιοθήκης γνωστὰ τοῦ Μάρκου συγγράμματά εἰσι: α΄] Κεφάλαια περὶ ἀγεννήτου κ.τ.λ. β΄] Κεφάλαια ἠθικά· γ΄] περὶ εὐχῆς· δ΄] κεφάλαια γνωστικά· ε΄] περὶ πράξεως καὶ θεωρίας πρακτικῆς· ς΄] ἀντίζυγα κακιῶν καὶ ἀρετῶν· ζ΄] παραίνεσις ἀσκητικὴ κατ᾽ ἀλφάβητον· η΄] Λόγος εἰς τὸν τίμιον Σταυρὸν (catal. cod. Anglic. T. II, nr. 5835, 5936. Fabric. Bibl. gr. IX, 269. ed. Harl.).

Ἄξιον δὲ μάλιστα ἀναγνώσεως τὸ περὶ τῶν οἰομένων ἐξ ἔργων δικαιοῦσθαι σύγγραμμα τοῦ ἁγίου Γέροντος, ἔνθα ἀναγινώσκομεν τάδε: « Ὁ Κύριος πᾶσαν ἐντολὴν ὀφειλομένην δεῖξαι θέλων, τὴν δὲ υἱοθεσίαν ἰδίῳ αἵματι δεδωρημένην τοῖς ἀνθρώποις φησίν· ὅταν ποιήσητε πάντα τὰ διαταχθέντα ὑμῖν, λέγετε, ὅτι δοῦλοι ἀχρεῖοί ἐσμεν· ὅτι ὃ ὠφείλομεν ποιῆσαι, πεποιήκαμεν (Λουκ. ιζ΄ 10). Διὰ τοῦτο οὐκ ἔστι μισθὸς ἔργων ἡ βασιλεία τῶν Οὐρανῶν, ἀλλὰ χάρις Δεσπότου, πιστοῖς δούλοις ἡτοιμασμένη. Οὐκ ἀπαιτεῖ δοῦλος ὡς μισθὸν τὴν ἐλευθερίαν, ἀλλ᾿ εὐαρεστεῖ ὡς ὀφειλέτης, καὶ κατὰ χάριν ἐκδέχεται . . . ὁ τὸν Δεσπότην τιμῶν, ποιεῖ τὰ κελευόμενα. Σφαλεὶς δὲ ἢ παρακούσας, ὑπομένει ὡς ἴδια τὰ ἐπερχόμενα . . . ὅσοι προφάσει ἀγώνων ἀμελεστέρων κατεπαίρονται, οὗτοι ἐξ ἔργων σωματικῶν δικαιοῦσθαι νομίζουσιν. Ὅσοι δὲ ἐπερειδόμενοι ψιλεῖ τῇ γνώσει τοὺς ἀγνοοῦντας εὐτελίζουσιν, οὗτοι ἐκείνων πολὺ ἀφρονέστεροι τυγχάνουσιν. Ἐκτὸς τῶν κατ᾿ ἀρετὴν ἔργων, οὔπω βεβαία ἡ γνῶσις, κἂν ἀληθὴς τυγχάνῃ. Διότι παντὶ πράγματι τὸ ἔργον ἐστὶ βεβαίωσις. Πολλάκις ἐκ τῆς περὶ τὴν πρᾶξιν ἀμελείας, καὶ ἡ γνῶσις σκοτίζεται. Ὧν γὰρ αἱ ἐργασίαι καθόλου παρελογίσθησαν, τούτων καὶ αἱ μνῆμαι κατὰ μέρος οἰχήσονται· ἡ Γραφὴ διὰ τοῦτο κατὰ γνῶσιν εἰδέναι τὸν Θεὸν ὑποτίθεται, ἵν᾿ ὀρθῶς αὐτῷ ποτε διὰ τῶν ἔργων δουλεύσωμεν . . . . Τινὲς μὴ ποιοῦντες τὰς ἐντολάς, πιστεύειν ὀρθῶς νομίζουσι. Τινὲς δὲ ποιοῦντες, ὡς μισθὸν ὀφειλόμενον, τὴν βασιλείαν ἐκδέχονται· ἀμφότεροι δὲ τῆς βασιλείας ἀπεσφάλησαν . . . . ὅσοι τοῦ λουτροῦ τῆς παλιγγενεσίας ἠξιώθημεν, τὰ ἀγαθὰ ἔργα οὐ δι᾿ ἀνταπόδοσιν προσφέρομεν, ἀλλὰ διὰ φυλακὴν τῆς δοθείσης ἡμῖν καθαρότητος. Πᾶν ἔργον ἀγαθόν, ὃ διὰ τῆς ἡμετέρας ἐργαζόμεθα φύσεως, ἀπέχεσθαι μὲν ποιεῖ τοῦ ἐναντίου κακοῦ, προσθήκην δὲ ἁγιασμοῦ ἐκτὸς χάριτος ποιῆσαι οὐ δύναται . . . Ὁ ὀρθῶς μετανοῶν οὐκ ἀντελλογεῖ τὸν κόσμον τοῖς παλαιοῖς ἁμαρτήμασιν, ἀλλ᾿ ἀεὶ δι᾿ ἑαυτοῦ τὸν Θεὸν ἐξευμενίζεται. Εἰ ὅσα ἔχει ἡ φύσις ἡμῶν ἀγαθά, καθ᾿ ἡμέραν ποιεῖν αὐτὰ κεχρεωστήκαμεν, τί λοιπὸν περὶ τῶν προγενομένων κακῶν τῷ Θεῷ ἀνταποδώσομεν; Ὅσην ἂν ὑπερβολὴν ἀρετῆς σήμερον ποιήσωμεν, παρελθούσης ἀμελείας ἔλεγχός ἐστιν, οὐκ ἀνταπόδοσις . . .

Ἡ μὲν χάρις, τοῖς ἐν Χριστῷ βαπτισθεῖσι, μυστικῶς δεδώρηται· ἐνεργεῖ δὲ κατ᾽ ἀναλογίαν τῆς ἐργασίας τῶν ἐντολῶν, καὶ κρυφίως βοηθεῖν ἡμῖν ἡ χάρις οὐ παύεται, ἐφ᾽ ἡμῖν δέ ἐστι ποιεῖν, ἢ μὴ ποιεῖν τὸ ἀγαθὸν κατὰ δύναμιν. Πρῶτον μὲν θεοπρεπῶς διεγείρει τὴν συνείδησιν. Ὅθεν καὶ κακοποιοὶ μετανοήσαντες, τῷ Θεῷ εὐηρέστησαν· πάλιν ἐν διδασκαλίᾳ τοῦ πλησίον ἐγκρύπτεται· ἔστι δὲ ὅτε καὶ ἐν τῇ ἀναγνώσει τῇ διανοίᾳ παρέπεται, καὶ διὰ τῆς φυσικῆς ἀκολουθίας ἐκδιδάσκει τὸν νοῦν τὴν ἑαυτῆς ἀλήθειαν. Εἰ οὖν τῆς μερικῆς ταύτης ἀκολουθίας μὴ κρύψομεν τὸ τάλαντον, εἰς τὴν χαρὰν τοῦ Κυρίου ἐναργῶς εἰσελευσόμεθα. Ὁ πρὸ τῆς ἐργασίας τῶν ἐντολῶν τὰς ἐνεργείας τοῦ Πνεύματος παραζητῶν, ὅμοιός ἐστι δούλῳ ἀργυρωνήτῳ, ὃς ἅμα τῷ ἀγορασθῆναι σὺν ταῖς ὠναῖς καὶ ἐλευθερίας γραφὴν παραζητεῖ . . . Οὐδεὶς οὕτως ἀγαθὸς καὶ οἰκτίρμων, ὡς ὁ Θεός· τῷ δὲ μὴ μετανοοῦντι οὐδ᾽ αὐτὸς ἀφίησιν . . . ὅπερ ἐστὶν οἶκος αἰσθητὸς τῷ κοινῷ ἀέρι, τοῦτο νοῦς λογιστικὸς τῇ θείᾳ χάριτι. Ὅσην ἂν ἐκβάλῃς ὕλην, τοσοῦτον αὐτομολήσει· καὶ ὅσην ἂν ἐμβάλῃς, τοσοῦτον ὑποχωρήσει. Ὕλη οἴκου, σκεύη καὶ βρώματα· ὕλη δὲ νοὸς κενοδοξία καὶ ἡδονή. Χώρημα καρδίας ἐλπὶς εἰς Θεόν· στενοχωρία δὲ αὐτῆς φροντὶς σωματική. Μία μέν ἐστι καὶ ἀναλλοίωτος ἡ χάρις τοῦ Πνεύματος· ἐνεργεῖ δὲ ἑκάστῳ, καθὼς βούλεται. Ὥσπερ ὑετὸς ἐπιχεθεὶς τῇ γῇ, τοῖς φυτοῖς προσφυῆ παρέχει ποιότητα, γλυκεῖαν μὲν τοῖς γλυκέσι, στυφὴν δὲ τοῖς στυφοῖς· οὕτως ἡ χάρις ταῖς καρδίαις τῶν πιστῶν ἀτρέπτως ἐπιβάλλουσα, ἁρμοζούσας ταῖς ἀρεταῖς τὰς ἐνεργείας χαρίζεται· τῷ διὰ Χριστὸν πεινῶντι γίγνεται τροφή, καὶ τῷ διψῶντι πόμα ἡδύτατον· τῷ ριγῶντι ἔνδυμα, καὶ τῷ κοπιῶντι ἀνάπαυσις· τῷ προσευχομένῳ ἐλπὶς καρδιακή, καὶ πενθοῦντι παράκλησις».

Ἰδοὺ διδασκαλίαι πνευματικῆς πείρας καὶ ὀρθῆς γνώσεως τῆς ἁγίας Γραφῆς! Αὗται οὐκ εἰσιν ὅμοιαι ταῖς τοῦ Αὐγουστίνου, περὶ ὧν ἐποιησάμεθα λόγον.

§. 205. Ὁ ὅσιος Ἰσίδωρος ὁ Πηλουσιώτης.
α΄.) Ἐν τῷ βίῳ αὐτοῦ.

Ὁ δ᾽ ἕτερος τῶν τοῦ Χρυσοστόμου χρυσολόγων μαθητῶν διὰ τὴν

Αἴγυπτον ἦν ὁ τρισμακάριστος Ἰσίδωρος (1), Πηλουσιώτης ἐπονομασθείς, ὡς χρηματίσας διὰ χρόνου κορυφαῖος καθηγεμὼν τῶν ἐν Πηλουσίῳ (τῷ ὄρει) διαθλούντων ἀσκητῶν, τὸ γένος Ἀλεξανδρεύς (2). Οἱ γονεῖς αὐτοῦ ἦσαν εὐγενεῖς καὶ πλούσιοι (3)· ἐντεῦθεν δὲ ἠδυνήθη κτήσασθαι τὸν τῆς τε καθ' ἡμᾶς καὶ τῆς θύραθεν σοφίας πλοῦτον, ὃς καταφαίνεται ἐν τοῖς συγγράμμασιν αὐτοῦ (4). Καταλιπὼν παντοῖον πλοῦτον, γένος λαμπρόν, εὐδαιμονίαν βίου, ἐν τῷ νέῳ ἔτι τῆς ἡλικίας αὐτοῦ (5) κατέλαβε τὸ Πηλούσιον ὄρος (6). Ἐνταῦθα ἡ κατὰ μόνας ἀναχώρησις, οἱ αὐστηροὶ ἀγῶνες αὐτοὶ καθ' ἑαυτούς, ὡς αὐτὸς λέγει, ἐκάθηραν τὴν ψυχὴν αὐτοῦ καὶ ἐφώτισαν τὸν νοῦν (7). Ἡ ἐπὶ τῷ ὑψηλῷ βίῳ καὶ τῇ θαυμαστῇ σοφίᾳ δόξα τοῦ Χρυσοστόμου παρώτρυνε τὸν Ἰσίδωρον, ὡς καὶ τὸν Κασσιανόν, μεταβῆναι εἰς Κωνσταντινούπολιν, ἵν' ἀκροάσηται τῶν τε ἰδίᾳ καὶ δημοσίᾳ διδασκαλιῶν τοῦ μεγάλου Ποιμένος. Ἐγένετο δ' αὐτόπτης, ὡς δει-

(1) Λαμπρὰν πραγματείαν περὶ τοῦ βίου τῶν συγγραμμάτων καὶ τῆς διδασκαλίας τοῦ ἁγ. Ἰσιδώρου συνέγραψεν ὁ Niemeyerus, Halæ, 1825.

(2) Εὐφραίμιος ὁ Π. Ἀντιοχείας παρὰ Φωτίῳ ἀνάγν. σκη' σελ. 778: «Ἰσίδωρος Ἀλεξανδρεὺς τὸ γένος ἦν».

(3) Ἑλλην. Μηνολόγ. δ' Φεβρουαρίου. «Ἰσίδωρος ὁ ἅγιος, Αἰγύπτιος, υἱὸς εὐγενῶν καὶ εὐσεβῶν γονέων· συγγενεῖς δ' ἔχων Θεόφιλον καὶ Κύριλλον, τοὺς τῆς Ἀλεξανδρείας ἐπισκόπους, ἐγένετο σοφός. Ἀγαπήσας δὲ τὸν Θεὸν πλεῖον τοῦ κόσμου, κατέλιπε καὶ γονεῖς, καὶ πλοῦτον, καὶ δόξαν, καὶ ἐγένετο μοναχός». Τὸ λεγόμενον ἐνταῦθα, ὅτι εἶχε συγγενεῖς τὸν Θεόφιλον καὶ τὸν Κύριλλον, οὐ βεβαιοῦται ὑπ' ἄλλων μαρτυριῶν.

(4) Ὅτι ἐκόμα τῷ πλούτῳ τῆς θύραθεν σοφίας, ἀποδεικνύουσι τὰ χωρία τῶν ἐθνικῶν συγγραφέων, ἅτινα παράγει ἐν τοῖς πονήμασιν αὐτοῦ.

(5) Ἰσιδ. Βιβλ. Α' ἐπ. 191 καὶ 266. Νικηφ. ιδ' 53.

(6) Λεόντιος ὁ Βυζάντιος καλεῖ αὐτὸν ἐρημίτην (κατὰ Νεστορ. καὶ Εὐτυχ. in Bibl. Magna T. IX, 706). Ὁ Νικηφόρος λέγει: «Τοῦ Πηλουσίου ὄρους καθηγησάμενος» (ιδ' 53). Τὸ Πηλούσιον ἦν φρούριον καὶ πόλις τῆς κάτω Αἰγύπτου, ἔκειτο δὲ ἐφ' ἑνὸς τῶν στομίων τοῦ Νείλου. Βλ. Στέφ. Βυζ. Περὶ πόλεων.

(7) Βιβλ. Α' ἐπ. 402. «Ἐμοὶ τὴν μετρίαν εἴδησιν ἡ κατὰ μόνας προσέθηκεν ἀναχώρησις. Ὁ γὰρ ἐν μέσῳ θορύβων στρεφόμενος, καὶ γνῶναι τὰ οὐράνια βουλόμενος, λέληθεν, ὅτι τὸ ἐν ἀκάνθαις σπειρόμενον ὑπ' ἐκείνων συμπνίγεται· καὶ ὁ μὴ σχολάσας, Θεὸν γνῶναι οὐ δύναται».

κνῦσι τὰ συγγράμματα αὐτοῦ, τῶν κατὰ τοῦ θείου Διδασκάλου ἐνεργειῶν τοῦ Θεοφίλου. Ὅ,τι εἶδε καὶ ἠκροάσατο παρὰ τῷ χρυσορρήμονι, ἐπίσης καὶ τὰ συγγράμματα αὐτοῦ, ἐγένετο αὐτῷ ὑπόθεσις προσεκτικῆς σπουδῆς καὶ μεγάλου θαυμασμοῦ· τὸ δὲ διαυγὲς τῆς διανοίας τοῦ μεγάλου Πατρός, ἡ ἁπλότης καὶ ὁ ζῆλος αὐτοῦ ἐγένοντο κτῆμα τοῦ Ἰσιδώρου καὶ ἐνετυπώθησαν ἐν ἁπάσαις αὐτοῦ ταῖς πράξεσι (1). Μετὰ τὴν ἐκ Κων]λεως ἐπάνοδον ὁ αὐστηρὸς βίος καὶ ἡ πνευματικὴ σοφία συνήγειραν περὶ αὐτὸν πολλοὺς τῆς εὐσεβείας ζηλωτάς, ὧν ἐγένετο πρεσβύτερος καὶ καθηγεμών(2). Ἡ ἀκτημοσύνη αὐτοῦ ἦν τηλικαύτη, ὥστε εὐχαρίστησέ ποτε δι' ἐπιστολῆς ἐκείνῳ, ᾧ ἠδυνήθη ἀποδοῦναι μίαν τῶν ἑαυτοῦ ἐσθήτων(3)· ἐν ἄλλῃ δὲ παρεμυθεῖτο ἑαυτόν, ὅτι ἠδυνήθη ζητῆσαι ἄλλον ὑπὲρ ἐνδεοῦς ἐσθῆτα, ἣν αὐτὸς οὐκ εἶχε παρ' ἑαυτῷ (4). Ὁ βίος αὐτοῦ, ὡς γράφει ὁ Εὐάγριος, ἦν ὄντως ἀγγελικός, ἦν ζῶσα εἰκὼν τῆς τε μοναχικῆς πολιτείας καὶ τῆς πνευματικῆς θεωρίας(5). Διὰ τῶν αὐστηρῶν ἀγώνων καὶ τῆς ἐξόχου σο-

(1) Ὁ Νικηφόρος (ιδ' 53,) καλεῖ τὸν Ἰσίδωρον μαθητὴν τοῦ Χρυσοστόμου. Αὐτὸς ὁ Ἰσίδωρος ἐν τῇ πρὸς τὸν Κασσιανὸν ἐπιστολῇ (βιβλ. Α' ἐπ. 309,) ὑπομιμνήσκει αὐτόν, ὅτι ἠκροάσατο τοῦ Χρυσοστόμου. Ἐν ἄλλαις ἐπιστολαῖς παρίσταται οὐ μόνον ἄκρος θαυμαστὴς τῶν ἔργων καὶ τῶν συγγραμμάτων τοῦ θείου Πατρὸς (βιβλ. Α' ἐπ. 156. Β' ἐπ. 42. Δ' ἐπ. 224), ἀλλὰ καὶ ἠρωτήθη περὶ τῆς λυπηρᾶς αὐτοῦ ἱστορίας ὡς αὐτόπτης αὐτῆς γενόμενος. «Ἐρωτᾷς τὴν περὶ τὸν θεσπέσιον Ἰωάννην ἱστορίαν· ἀλλὰ φράσαι ταύτην ἀπορῶ· νικᾷ τὸν νοῦν τὸ τοῦ πράγματος. . . » Ἐπ. 152, Συμμάχῳ.

(2) Τοῦτο δεικνῦσιν αἱ ἐπιστολαὶ αὐτοῦ Βιβλ. Α' ἐπ. 142, 518, 689, 52, 154, καὶ ὁ Φακοῦνδος (pro defens. trium Capitulor. lib. IV. c. 2), ὁ Σουΐδας, ὁ Νικηφόρος (ιδ' 53), ἡ ἀρχαία λατιν. ἐπιγραφὴ ἐπὶ τῆς συλλογῆς τῶν ἐπιστολῶν.-Lupi-var. Patr. Ep. ex Mss. Cassinen. Lovanii 1682. Sirmondi op. T. II. p. 458.

(3) Βιβλ. Α' ἐπ. 216. Ζήνωνι πρεσβυτέρῳ.

(4) Βιβλ. Α' ἐπ. 475.

(5) Ἐκκλ. ἱστορ. α', 15. Facund. de defensione trium cap. lib. II. c. 4. Νικηφ. ιδ' 53. «Ὁ μὲν οὖν θεῖος Ἰσίδωρος, ἐξ ἔτι νέου τοῖς ἀσκητικοῖς οὕτω πόνοις ἐνίδρωσε, καὶ τὴν σάρκα κατέτηξε, τὴν ψυχὴν τοῖς ἀναγωγικοῖς πιάνας τῶν λόγων ὡς ἀγγελικὸν ἄντικρυς μετελθεῖν βίον· καὶ στήλην ζῶσαν τε καὶ ἔμψυχον, τῆς τε μοναστικῆς διαίτης καὶ τῆς εἰς Θεὸν θεωρίας».

φίας ἐγένετο πάνυ σεβαστὸς οὐ μόνον τοῖς ἐπισκόποις καὶ τοῖς ἄρχουσιν (1), ἀλλὰ καὶ αὐτῷ τῷ Αὐτοκράτορι (2). Οἱ πατριάρχαι τῆς Ἀλεξανδρείας (3) ἐχρῶντο αὐτῷ συμβούλῳ καὶ ἔσεβον τὰ μέγιστα αὐτόν (4). Ἡ ἀγάπη τοῦ Χρυσοστόμου ἔγραψε τῇ χειρὶ αὐτοῦ ἐπιστολὰς πρὸς ἁπλοῦν στρατιώτην καὶ πρὸς στρατηγόν, πρὸς γεωργὸν καὶ ἄρχοντα, καὶ ἡ πρὸς τὸν χρυσορρήμονα ἀγάπη παρώτρυνεν αὐτὸν διαλλάξαι τὸν ἀδελφιδοῦν τοῦ Θεοφίλου Κύριλλον πρὸς τὸ ὄνομα τοῦ μεγάλου τῆς Ἐκκλησίας διδασκάλου (5). Αἱ πολλαπλασιαζόμεναι κακίαι, κατ᾿ ἐξοχὴν δὲ ἐν τῇ Ἐκκλησίᾳ τοῦ Πηλουσίου, ἀνέφλεξαν τὸν ζῆλον τοῦ Ἀββᾶ, ὃς ἔλεγεν ἀπροσωπολήπτως τὴν ἀλήθειαν. «Χάρτην ἡμῖν οἱ πολῖται πεπόμφασιν, ἔγραφε Κυρηνίῳ τῷ ἡγεμόνι Πηλουσίου, προπαγέντα τῆς Ἐκκλησίας, ὡς ἔφησαν, πρὶν ἐπιβῇ τῆς πόλεως. ὃς καὶ ἀπολογίας πάντας γυμνοῖ, καὶ τῆς ἐν Ἐκκλησίᾳ φυγῆς. Ὅπερ οὐ μόνον ἀπηνείας ἐστίν, ἀλλὰ καὶ ἀσεβείας ἔχει ὑπόνοιαν. Εἰ γὰρ ἀπολογίας οὐ μεταδιδούς, οὐδὲ φυγὴν πρὸς Θεὸν ἐνδιδούς, καὶ συκοφάντας ἐστόμωσας, καὶ ἀδικίας ἐπλήθυνας· πῶς οὖν φωράσεις τὸ δίκαιον; πῶς σώσεις τὸν ἀδικούμενον; ὅς, ἵνα μὴ ἔργον δυνατοῦ γένηται, ἀπορῶν δικαστοῦ τοῦ ἀμύνοντος, πρὸς τὸν ἀχείρωτον ἔδραμε σηκόν. Ἡ δὲ σκῆψίς ἐστι, τῆς τοῦ δικαστηρίου πράσεως ἡ ἀπόφασις, ὑπόβηθι τὴν ἀπόνοιαν, καὶ ἕξεις τὸ πρατήριον εὐμαρέστατον (6). Ὁ Κυρήνιος ἠγανάκτησεν ἐπὶ τῇ συνεμφάσει τῆς πράσεως· ὁ δὲ ἅγιος Ἰσίδωρος ἔγραψεν αὐτῷ: «Καὶ τὰ μέτρα ἑαυτῶν ἐπιστάμεθα, καὶ ἐλέγχειν τοὺς πονηροὺς προβεβλήμεθα. Εἰ δὲ

(1) Πολλαὶ τῶν ἐπιστολῶν αὐτοῦ ἐγράφησαν πρὸς ἐπισκόπους κατ᾿ αἴτησιν αὐτῶν. Βλ. βιβλ. Α΄ ἐπ. 125. Γ΄ 245. Εὐφραίμιος ὁ Ἀντιοχείας λέγει, ὅτι «ἦν περίβλεπτος καὶ τοῖς ἀρχιερεῦσιν αἰδέσιμος» (παρὰ Φωτ. ἀνάγν. σκη΄).

(2) Βιβλ. Α΄ ἐπ. 35 καὶ 111 Θεοδοσίῳ βασιλεῖ.

(3) Πρὸς Κύριλλον τὸν Ἀλεξανδρείας ἐγράφησαν βιβλ. Α΄ ἐπ. 25, 300, 323, 324, 370. Γ΄ ἐπ. 360.

(4) Ὁ Κύριλλος ἐκάλει αὐτὸν π α τ έ ρ α: εἴτε γὰρ πατήρ εἰμι, ὡς ἔφης (βιβλ. Α΄ ἐπ. 370). Περὶ τούτου λέγει καὶ ὁ Φακοῦνδος Bibl. M. Patr. T. X. p. 18.

(5) Βιβλ. Α΄ ἐπ. 370. Στέφανος ὁ Γόβαρος παρὰ Φωτ. ἀνάγ. σλβ΄. Νικηφ. ιδ΄ 25, 26, 43. Βλ. περὶ Κυρίλλου τοῦ Ἀλεξανδ.

(6) Βιβλ. Α΄ ἐπ. 174. Πρβλ. καὶ ἐπ. 176, 178.

τὴν φράσιν φεύγεις, ὧν πράττεις, παῦσαι τὴν πρᾶξιν, καὶ οὐκ ἔσται ἡ φράσις. Ὅ γάρ τις ποιεῖν οὐκ αἰσχύνεται, τοῦτο μὴ ἀλυέτω καλούμενος. Εἰ δὲ καὶ μόνη ἡ κλῆσις ὕβρεως ἐστὶν ἕξις, ταύτης ἡ πρᾶξις [πῶς] οὐκ ἂν γενήσεται ὕβρις;» (1). Ἐπὶ δὲ τούτοις περιέγραψε πρὸς τὸν ἔπαρχον Ρουφῖνον τὰς πράξεις τοῦ Κυρηνίου, καὶ ἐπέρανε τὴν ἐπιστολὴν αὐτοῦ ὧδε: «ἢ παῦσον αὐτὸν τῆς δυνάμεως, ἢ ἴσθι συναπολαύσων αὐτῷ ἐπὶ τοῦ Θεοῦ καὶ κρίματος» (2). Μετὰ τῆς αὐτῆς παρρησίας ἔγραψε πρὸς τὸν ἑαυτοῦ (τὸν Πηλουσίου) ἐπίσκοπον ἐπίμεμψιν ἐπὶ τῷ διαπωλεῖν τὰς χρήσεις (3). Πρεσβυτέρῳ τινί, Ζωσίμῳ καλουμένῳ, λαβόντι τὴν ἱερωσύνην ἀντὶ χρημάτων, ἔγραψεν: «Ἔλαβες ἱερωσύνην ἀνιέρως, ἀνίερε, χρήμασι κλέψας πρᾶγμα οὐράνιον, δεύτερος Καϊάφας, ἀργυρίῳ λαβὼν τὰ ἀπόρρητα. Ἀλλ᾿ ἔστιν ἐλπὶς μεταβαλέσθαι σε πρὸς χρηστότητα. Ἐναντίον γάρ τι εἰπεῖν σοι οὐ βούλομαι» (4). Ἡ παρρησία αὕτη τοῦ ἁγίου Ἀββᾶ οὐκ ἠδύνατο ἀρέσκειν ἀνθρώποις διεφθαρμένοις, καὶ ἐντεῦθεν, ὡς αὐτὸς γράφει, πολλὰ μὲν ὑπ᾿ αὐτῶν ἔπαθεν ἕνεκα τοῦ ζήλου αὐτοῦ, ἀλλ᾿ εὐχαρίστει τῷ Κυρίῳ ἐπὶ ταῖς θλίψεσιν αὐτοῦ (5). Διαταράξαντος τοῦ

(1) Βιβλ. Α΄ ἐπ. 175.

(2) Βιβλ. Α΄ ἐπ. 178. πρβλ. καὶ ἐπ. 489.

(3) Βιβλ. Α΄ ἐπ. 177, πρὸς τὸν αὐτὸν ἐν τῷ αὐτῷ τόμῳ, βιβλ. Α΄ ἐπ. 112, 113. Περὶ τῶν πράξεων αὐτοῦ βιβλ. Β΄ ἐπ. 199. Γ΄ ἐπ. 245. Ε΄ ἐπ. 249, 250. Ἐν τῷ αὐτῷ τόμῳ ἐπιστ. πρὸς Μαρτύριον ἐπισκ. Βιβλ. Α΄ ἐπ. 45, πρὸς Λεόντιον ἐπισκ. Βιβλ. Α΄ ἐπ. 130.

(4) Βιβλ. Α΄ ἐπ. 110. ἐπ᾿ ἴσης ἐπ. 140, 382. πρβλ. καὶ βιβλ. Β΄ ἐπ. 121. Γ΄ ἐπ. 177. Μετὰ τῆς αὐτῆς παρρησίας ἔγραψε τῷ ἀρχιδιακόνῳ Πηλουσίου Λουκίῳ βιβλ. Α΄ ἐπ. 29. Βλ. ἐπ. 111, 119, 120, 136, 158. Βλ. καὶ τὰς ἐπ. Παύλῳ Ἀρχιμανδρίτῃ βιβλ. Α΄ ἐπ. 49. Λουκᾷ Ἀρχιμανδρίτῃ ἐπ. 298. Φιλίππῳ μοναχῷ ἐπ. 41.

(5) Βιβλ. Β΄ ἐπ. 22. «...Ταῦτα δὲ γράφω, οὐχ ὡς δεδιὼς τί παθεῖν ἐνταῦθα. Πολλὰ γὰρ τούτου ἕνεκα, ὡς οἶσθα, πέπονθα· καὶ εἶπον τῷ κατασκευάσαντι· ἐστεφάνωσας οὐχ ἑκών, κἀμοὶ γὰρ ἐχαρίσατο ὁ Θεὸς οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν». Βιβλ. Ε΄ ἐπ. 592. Πρβλ. καὶ βιβλ. Β΄ ἐπ. 54. «Οὕτω καὶ ἡμεῖς, ὅταν μὴ δι᾿ οἰκείαν σκαιότητα, ἀλλὰ διὰ τὴν εὐσέβειαν καὶ τὴν δικαιοσύνην πάσχωμεν, ἀλύειν οὐκ ὀφείλομεν». Βιβλ. Ε΄ ἐπ. 398. Στέφανος ὁ Γόβαρος γράφει, ὅτι «Σεβῆρος τὸν ἐν ἁγίοις

Νεστορίου ἅπασαν τὴν Ἐκκλησίαν διὰ τῆς δυσεβοῦς αὐτοῦ διδασκαλίας, ὁ θεῖος Πατὴρ ὑπερήσπισε παντὶ σθένει τὴν ὀρθόδοξον πίστιν. Εἰδὼς τὴν ἀνθρωπίνην ἀσθένειαν, συνεβούλευε τῷ ποιμένι τῆς Ἀλεξανδρείας Κυρίλλῳ μὴ δεικνῦναι περιττὸν ζῆλον καὶ ἀντιπάθειαν πρὸς τὰ πρόσωπα (1)· σύναμα δὲ ἔγραφε τῷ Αὐτοκράτορι: «Εἰ μὲν αὐτὸς λαμβάνῃ καιροῦ παρεῖναι τοῖς κρινομένοις ἐν Ἐφέσῳ, προσέσται τούτοις εὖ οἶδα τὸ ἄμεμπτον. Εἰ δὲ ὀχλώδει ἀντιπαθείᾳ τὰς ψήφους ἐκδώσειας, τίς ἐξαιρήσεται τὴν Σύνοδον σκωμμάτων; Παρέξεις δὲ τούτοις θεραπείαν, εἰ παύσειας τῶν δογματισμῶν τοὺς σοὺς διακόνους, πρὸς μέγα χάσμα διεστῶτας, βασιλεῖ ὑπηρετεῖσθαι καὶ Θεῷ διαφιλονεικεῖσθαι· μήπως τῷ κράτει σάλον ἐπενέγκωσι, τῇ πέτρᾳ τῆς Ἐκκλησίας προσρηγνύντες τὰ τῆς κακοπιστίας αὐτῶν μηχανήματα. Αὕτη γὰρ ἐρήρεισται, καὶ οὔτε ὑπὸ πυλῶν ᾅδου κυριεύεται, ὡς ὁ δράσας αὐτὴν Θεὸς ἐπηγγείλατο» (2). Οὐ μὴν ἀλλ᾿ ἐσπούδαζε στηρίζειν τὴν ὀρθοδοξίαν κατ᾿ ἐξοχὴν ἐν τοῖς λειτουργοῖς τοῦ θυσιαστηρίου τοῦ Κυρίου (3). Κατὰ τὸ παράδειγμα τοῦ θείου Χρυσοστόμου ἐπειρᾶτο σβεννύναι τὸ πνεῦμα τῶν ἐρίδων καὶ τῶν διχονοι-

---

Ἰσίδωρον μέμψασθαι μὲν ὁρμηθείς, οὐκ ἔχων δὲ ὅθεν, φήμην αὐτῷ περιπλάττει Ὠριγενισμοῦ· εἰ καὶ ταύτην αὐτὸς πάλιν ἀποσκευάζεται δι᾿ ἑαυτοῦ ὑπὸ τῆς ἀληθείας νικώμενος». Σευήρῳ ἐπισκ. (ἐπ. 368, βιβλ. Α΄), ἔνθα ἐλέγχει τὴν οἴησιν.

(1) Βιβλ. Α΄ ἐπ. 310. «Προσπάθεια μὲν οὐκ ὀξυδορκεῖ, ἀντιπάθεια δὲ ὅλως οὐχ ὁρᾷ. Εἰ τοίνυν ἑκατέρας λήμης βούλει καθαρεῦσαι, μὴ βιαίας ἀποφάσεις ἐκβίβαζε, ἀλλὰ κρίσει δικαίᾳ τὰς αἰτίας ἐπίτρεψον. Ἐπειδὴ καὶ Θεός, ὁ τὰ πάντα εἰδὼς πρὸ γενέσεως, καταβῆναι καὶ τὴν κραυγὴν ἰδεῖν Σοδόμων φιλανθρώπως ηὐδόκησεν, ἡμᾶς ἀκριβοῦς ἐρεύνης διδάσκων ὑπόθεσιν. Πολλοὶ γάρ σε κωμῳδοῦσι τῶν συνειλεγμένων εἰς Ἔφεσον, ὡς οἰκείαν ἀμυνόμενον ἔχθραν, ἀλλ᾿ οὐ τὰ Ἰησοῦ Χριστοῦ ὀρθοδόξως ζητοῦντα. Ἀδελφιδοῦς ἐστί, φασι, Θεοφίλου, μιμούμενος ἐκείνου τὴν γνώμην. Ὥσπερ γὰρ ἐκεῖνος μανίαν σαφῆ κατεσκέδασε τοῦ θεοφόρου καὶ θεοφιλοῦς Ἰωάννου, οὕτως ἐπιθυμεῖ καυχήσασθαι καὶ οὗτος, εἰ καὶ πολὺ τῶν κρινομένων ἐστὶ τὸ διάφορον».

(2) Βιβλ. Α΄ ἐπ. 311. ἐπ. 404, 405, Θεοδοσίῳ διακόνῳ· βιβλ. Δ΄ ἐπ. 166 Ἀρχιβίῳ πρεσβυτέρῳ.

(3) Βιβλ. Α΄ ἐπ. 323, Κυρίλλῳ τῷ Ἀλεξανδρείας. Βλ. Λεόντ. κατὰ Μονοφυσ. ap. Maium Collect. Vet. Auct. VII. 131. Romæ, 1833.

ῶν[*]. Περὶ δὲ τὸ 430 συνεβούλευε τῷ ἁγίῳ Κυρίλλῳ ἵνα μή, καταστρέφων τὴν διδασκαλίαν τοῦ Νεστορίου περὶ τοῦ Χριστοῦ τοῦ τεθεωμένου ἀνθρώπου, ἐπιλανθάνηται καὶ τῆς ἀνθρωπότητος τοῦ Ἰησοῦ, καί, κοινωνῶν τοῖς σύροις ἐπισκόποις, μένῃ ἀεὶ ἄτρεπτος, οὔτε φόβῳ προδιδοὺς τὰ οὐράνια, οὔτε ἑαυτῷ ἐναντίος φαινόμενος (1). Τὸ ὀξυδερκὲς ὄμμα τοῦ μαθητοῦ τοῦ Χρυσοστόμου ταχέως παρετήρησε τὴν ἐν Αἰγύπτῳ ἐμφάνισιν τοῦ εὐτυχιανισμοῦ πρὸ τῆς τοῦ Εὐτυχοῦς (2), καὶ ἔγραψε πρὸς τοὺς ποιμένας τῆς Αἰγύπτου εἶναι σταθεροὺς κατὰ τῆς νέας ἀνθρωπίνης αὐθαιρεσίας (3). Πιθανῶς τῷ 436 παρέδωκε τῷ Κυρίῳ τὸ πνεῦμα αὐτοῦ ὁ διορατικὸς πρόμαχος τῆς ἀληθείας τοῦ Χριστοῦ (4).

---

[*] Βιβλ. Α΄ ἐπ. 93 τῇ ἐν Ταβεννησίᾳ μονῇ: «Μὴ πολλοὶ γίνεσθε διδάσκαλοι, ἀδελφοί». Βιβλ. Α΄ ἐπ. 220 τοῖς ἐν Πηλουσίῳ μοναχοῖς.

(1) Βιβλ. Α΄ ἐπ. 324 τῷ αὐτῷ. Ἅπασα ἡ ἐπιστολὴ κατεχωρίσθη ἐν τῷ ἀρχαίῳ Συνοδικῷ ap. Mansium T. V. p. 758. s.

(2) Βιβλ. Α΄ ἐπ. 496 Κωνσταντίῳ (πιθανῶς ἐπισκόπῳ): «Οὐκ ἔστιν, ὦ τᾶν, οὐκ ἔστιν ὁ ζῆλός σου κατ' ἐπίγνωσιν, οὔτε, ὡς φῄς, τῷ Κυρίῳ ἐκ τῶν αὐτοῦ νόμων ἀμύνεις, τῆς Ἐκκλησίας τινὰς ἐξελαύνων. Ὁ μὲν γὰρ τοὺς θεοκαπήλους ἀπήλαυνε, τοὺς ἐμπόριον τὸ ἀνάκτορον δείξαντας. Σὺ δὲ τοὺς τὸ θεῖον εὐσεβῶς πρεσβεύοντας διώκεις ἐμμανῶς, σύγχυσίν τινα καὶ ἀνάκρασιν, καὶ τροπὴν τὴν εἰς σάρκα τοῦ Θεοῦ Λόγου κατηχῶν, ἢ ἀλλοιῶν τὴν θείαν φύσιν εἰς σάρκα καὶ ὀστέα, ἢ τὴν ἀλήθειαν τῆς σαρκὸς ἀθετῶν. Οὐ τοίνυν τὸν Κύριον μιμεῖ, ἀλλὰ τὸν στρατηγὸν τοῦ ἱεροῦ, τοὺς Ἀποστόλους διώκοντα, καὶ κηρύσσειν τὴν εὐσέβειαν κωλύοντα». Πολλῷ σαφέστερον βιβλ. Α΄ ἐπ. 102. Τιμοθέῳ Ἀναγνώστῃ, ἔνθα τὸ χωρίον: «μήπου δόκησιν τὴν τοῦ Χριστοῦ φύσιν», κατὰ τὰ ἄριστα τῶν ἀπογράφων ἀναγινώσκεται: «μήπως μίαν Χριστοῦ φύσιν μετὰ τὴν....» Βλ. Λεόντ. Ἱεροσολ. κατὰ Μονοφυσιτῶν ap. Maium Vet. Auct. VII. 134.

(3) Βιβλ. Α΄ ἐπ. 419 Ἑρμογένει ἐπισκόπῳ: «.... Αἴγυπτος πάλιν φαραωνίζεται, οὐκ ἔτι μὲν τοῖς παροικοῦσιν υἱοῖς τοῦ Ἰακὼβ πόνους ἐπιτάττουσα πόλεων, ἀλλὰ πάντας τοὺς ἐρρωμένους φόρους ἀπαιτοῦσα αἱρέσεων. Βλέπετε μή τις ὑμᾶς πλανήσῃ, ἀλλ' ὡς στερεὸς θεμέλιος στήκετε. Ὁ θεὸς γὰρ ἐνανθρωπήσας οὐ τέτραπται, οὔτε συγκέχυται, οὔτε διῄρηται. Ἀλλ' εἷς ἐστὶν ἄναρχος καὶ ἀΐδιος Υἱός, καὶ πρὸ σαρκώσεως καὶ μετὰ σάρκωσιν οὕτω παρ' ἡμῶν προσκυνούμενος».

(4) Ὁ Τιλλεμόντιος, ὁ Φαβρίκιος,

§. 206. β') Ἐν τοῖς συγγράμμασιν, ὡς ἑρμηνευτὴς τῆς ἁγίας Γραφῆς.

Τὰ νῦν γνωστὰ συγγράμματα τοῦ ἐλλογιμωτάτου, καὶ ῥήτορος καὶ φιλοσόφου, καὶ τὸν βίον ὁσιωτάτου, καὶ ἐν ἁγίοις δεδοξασμένου Ἰσιδώρου συνίστανται ἐξ ἐπιστολῶν [1], ἐπέκεινα τῶν δισχιλίων ἀριθμουμένων [2].

καὶ ὁ Σχροίκκιος ἀναφέρουσι τὴν τελευτὴν τοῦ ἁγ. Ἰσιδώρου εἰς τὸ 449 ἢ 450 ἔτ. ἐρειδόμενοι ἐπὶ τούτου, ὅτι ἐν ταῖς μνημονευθείσαις αὐτοῦ ἐπιστολαῖς ἐλέγχονται αἱ ἰδέαι, ἃς ὑπερήσπιζεν ὁ Εὐτυχής. Ἀλλὰ α'] ἐν ταῖς ἐπιστολαῖς αὐτοῦ οὐδὲ λόγος ἐστὶ περὶ τοῦ Εὐτυχοῦς, ἐνῷ ἐλέγχονται ὁ Μάνης, ὁ Ἄρειος, καὶ ὁ Νεστόριος. β'] Ὁ Εὐτυχὴς ἐδήλωσε τὴν διδασκαλίαν αὐτοῦ τῷ 448· μία δὲ τῶν ἐπιστολῶν ἐγράφη πρὸς Κύριλλον τὸν Ἀλεξ. (σελ. 102, σημ. 3), ὅστις ἐτελεύτησε τῷ 444. Ἡ μνήμη τοῦ ἁγ. Ἰσιδώρου τελεῖται τῇ δ' Φεβρουαρίου.

(1) Ἐκδόσεις: S. Isidori Pelusietæ epist. lib. V. Parisiis, 1638. Venetiis 1745· Patri Possini Isidorianæ collationes, quibus epistolæ suplentur. Romæ, 1670. 8. Περὶ τῶν συγγραμμάτων καὶ τῶν ἐκδόσεων βλ. Niemeyerum: Comment. de S. Isidoro p. 29-147. Αἱ ἐπιστολαὶ τοῦ ἁγ. Ἰσιδώρου μετεφράσθησαν εἰς τὴν Συριακὴν γλῶσσαν πρωϊαίτατα (Asseman. B. O. III. 43). Αὐτὸς ὁ ἅγ. Ἰσίδωρος ποιεῖται μνείαν τῶν συγγραμμάτων αὐτοῦ: πρὸς Ἕλληνας (βιβλ. Β' ἐπ. 137, 228), περὶ τοῦ μὴ εἶναι εἱμαρμένην (βιβλ. Γ' ἐπ. 253), βλ. σημ. 2. Ἀλλὰ τὰ συγγράμματα ταῦτα, ἢ ἀπωλέσθησαν, ἢ οὔπω ἐξεδόθησαν. Ἐν τῇ βιβλιοθ. τῆς ἐν Μόσχᾳ ἱερᾶς Μονῆς τοῦ ἁγ. Σεργίου ἐστὶ περγαμηνὸν χειρόγραφον τοῦ ιδ' αἰῶνος (No. 101), περιέχον ἐν σλαβ. μεταφράσει: «Ἰσιδώρου τοῦ Πηλουσιώτου περὶ πίστεως. Πιστεύω εἰς ἕνα Θεὸν ἀγέννητον, καὶ εἰς ἕνα Υἱὸν γεννηθέντα, καὶ εἰς ἓν Πνεῦμα ἐκπορευόμενον κ.τ.λ.». Τὸ ἑλληνικὸν κείμενον ταύτης τῆς ὁμολογίας ἐστὶν ἄγνωστον.

(2) Ὁ Σουΐδας λέγει: «Ἰσίδωρος πρεσβύτης (ἴσ. γρ. πρεσβύτερος), ὁ Πηλουσιώτης, ἀνὴρ ἐλλογιμώτατος, φιλόσοφός τε καὶ ῥήτωρ, ἐπιστολὰς ἑρμηνευούσας τὴν θείαν Γραφὴν 3000 γέγραφε, καὶ ἑτέρας 7000 καὶ ἄλλα τινὰ (Βλ. Sirmond. not. in Facund. p.79). Ἐν τῇ ἀρχαιοτέρᾳ τοῦ Σουΐδα ἐκδόσει λείπει τό, καὶ ἑτέρας 7000· οἱ δὲ ἀντὶ τοῦ ἑτέρας 7000 γράφουσιν 5000· ὅτι ὁ θεῖος Πατὴρ ἔγραψε μυριάδα ἐπιστο-

Οἱ τῷ ἁγίῳ Ἰσιδώρῳ σύγχρονοι ἔβλεπον ἐν αὐτῷ ἔμπειρον τῆς ἁγίας Γραφῆς ἑρμηνευτήν, διὸ ἠτοῦντο αὐτὸν διασαφήσεις πολλῶν ῥητῶν αὐτῆς. Τὰς αἰτήσεις αὐτῶν ἐξεπλήρου ὁ θεῖος Πατὴρ ἐν ἐπιστολαῖς[α]. Ἐν τῇ ἑρμηνείᾳ τῆς θείας Γραφῆς δείκνυται ἄριστος τοῦ χρυσορρήμονος μαθητής. Ἔν τισι τῶν ἐπιστολῶν αὐτοῦ ἐκτίθησιν ἄριστα κανόνας, οἷς ὀφείλει ἀκολουθεῖν ὁ ἑρμηνευτής. Πρεσβυτέρῳ τινι γράφει: «Τὸν λαμπρᾶς ἁπτόμενον ὑποθέσεως, καὶ τὸν νοῦν τῶν ἱερῶν Γραφῶν ἑρμηνεῦσαι πειρώμενον, χρὴ τὴν μὲν γλῶσσαν ἔχειν σεμνήν τε καὶ τρανήν, τὴν δὲ γνώμην εὐσεβῆ τε καὶ εὐαγῆ, ἀκολουθεῖν τε αὐταῖς, καὶ μὴ ἡγεῖσθαι, μηδὲ πρὸς τὸ οἰκεῖον βούλημα τὸν ἐκεῖνον νοῦν ἐκβιάζεσθαι. Τοῖς γὰρ παραποιεῖν καὶ παρερμηνεύειν τολμῶσι, κίνδυνος ἐπήρτηται μέγιστος εἰς αὐτὴν τὴν ψυχὴν βλέπων» (1). Ἐν ἄλλῃ ἐπιστολῇ

λων, μαρτυρεῖ καὶ Νικηφόρος ὁ Κάλλιστος (ἐκκλ. ἱστορ. ιδ', 53). Ὁ πρεσβύτερος Ἀνδρέας, πρὸ τοῦ δεκάτου αἰῶνος ἀκμάσας, παρήγαγε χωρία ἐκ τῶν ἐπιστολῶν τοῦ Ἰσιδώρου 1536, 1538, 1831, 1868, (Βλ. Catena in Act. Apostol. ed. Crameri, Oxon. 1838.

[α] «Ἐν δὲ ταύταις (ταῖς ἐπιστολαῖς), λέγει ὁ πολὺς Οἰκονόμος, αἱ πλεῖσται περὶ τῆς ἑρμηνείας ῥητοῦ τινος τῆς θείας Γραφῆς, πραγματεύονται, καὶ λόγου κάλλει καὶ νοημάτων ἀκριβείᾳ συντεταγμέναι, «σμικρῷ ποσῷ πολλάκις τὸ μέγα καὶ καλὸν διαγράφουσαι». (Περὶ τῶν Ο ἑρμην. βιβλ. Δ' σελ. 642). Σ. Μ.

(1) Βιβλ. Γ' ἐπ. 292. Παρόμοιαι δοξασίαι ἁπαντῶσι καὶ ἐν ἄλλαις ἐπιστολαῖς, βιβλ. Γ' ἐπ. 125. «Πολλάκις ἐθαύμασα τῶν τὰς θείας παρερμηνευόντων Γραφάς, καὶ τὸ οἰκεῖον μᾶλλον βούλημα ἢ τὸ ἐν αὐταῖς κείμενον παριστᾶν πειρωμένων. Τὸ γὰρ ἄκρατον αὐτῶν καὶ εἰλικρινὲς καὶ εὐφρᾶναι ψυχὴν δυνάμενον βούλημα τῷ φαύλῳ καὶ ἐξιτήλῳ τῶν οἰκείων δογμάτων παρακιρνῶντες ὕδατι, τὰ θεῖα καπηλεύειν τολμῶσι. Καὶ τοῦτό ἐστι τό: οἱ κάπηλοί σου μίσγουσι τὸν οἶνον ὕδατι κ.τ.λ.» 136. «Μὴ ἁπλῶς προφέρων τινὰς ῥήσεις τῶν ἱερῶν χρησμῶν διὰ στόματος σπάραττε· ἀλλὰ τὰς ὑποθέσεις ἀκριβῶς ζητήσας, ἕξεις τὰς λύσεις. Τυφλώττουσι γὰρ αἱ ἑρμηνεῖαι τῶν ὑποθέσεων χηρεύουσαι». Κατὰ τῆς βεβιασμένης ἐκθέσεως τῶν ἐννοιῶν ἐκ τῆς ἁγίας Γραφῆς οὐχ ἅπαξ ἔγραψεν ὁ ἅγ. Ἰσίδωρος· βιβλ. Β' ἐπ. 254. Γ' 292. Ε' 293, 308. Ἔγραψε καὶ περὶ τοῦ πῶς δεῖ ἑρμηνεύειν τὰς παραβολὰς καὶ τὰς παροιμίας τῆς ἁγ. Γραφῆς, αἳ πάνυ ῥαδί-

ἔγραψεν: «Οἱ πᾶσαν τὴν Παλαιὰν Διαθήκην εἰς τὸν Χριστὸν μεταφέρειν πειρώμενοι οὐκ ἔξω αἰτιάσεώς εἰσιν, ἐπείπερ καὶ Ἕλλησι, καὶ τοῖς μὴ ἐγκρίνουσιν αὐτὴν αἱρετικοῖς ἰσχύειν ἐν τῇ καθ' ἡμῶν διδόασι μάχῃ. Τὰ γὰρ μὴ εἰς Αὐτὸν εἰρημένα ἐκβιαζόμενοι, καὶ τὰ ἀβιάστως εἰρημένα ὑποπτεύεσθαι παρασκευάζουσι. Δι' ὧν γὰρ ἐκεῖνοι αὐτοὺς ἀνατρέπουσιν ὡς παραποιοῦντας, διὰ τούτων καὶ ἐν τοῖς διαρρήδην περὶ Αὐτοῦ εἰρημένοις νικᾶν νομίζονται. Ἐγὼ δὲ ἀναγκαίως φημὶ ἀμφότερα γεγενῆσθαι, τό τε μὴ πάντα λελέχθαι περὶ Αὐτοῦ, καὶ τὸ μὴ παντελῶς τὰ κατ' Αὐτὸν σεσιγῆσθαι. Τοῦτο γὰρ ἐλυσιτέλει τὸ μήτε δι' ὅλου περὶ τοῦ Χριστοῦ λέγεσθαι ἀνθρώποις, καὶ περὶ τοῦ Θεοῦ καὶ Πατρὸς ἀμφιβάλλουσι καὶ λέγουσι: ποίησον ἡμῖν Θεούς· μήτε παντάπασιν ἀποσεσιωπῆσθαι διὰ τὸν τῶν ἀπιστησάντων Ἰουδαίων ἔλεγχον, καὶ τὴν τῶν πιστευσόντων βεβαίαν ἐλπίδα». Ὁ ἅγιος Ἰσίδωρος ἠκολούθει ἀκριβέστατα τοῖς περὶ τῆς ἑρμηνείας τῆς ἁγίας Γραφῆς ἐξαιρέτοις αὐτοῦ κανόσιν. Εἰς ἀπόδειξιν τούτου δυνατὸν παραγαγεῖν ἐκ τῶν ἐπιστολῶν αὐτοῦ πολλὰ παραδείγματα ἀξιολογωτάτης ἑρμηνείας τῆς θείας Γραφῆς (1). Ὁ Ροσεμμύλερος, οὐ πάνυ εὐνοϊκῶς διατεθειμένος πρὸς τοὺς διδασκάλους τῆς ἁγίας πίστεως, τοσοῦτον ἐξεπλάγη ὑπό τε τῆς σαφηνείας καὶ τοῦ ὀρθοῦ τῶν ἑρμηνειῶν τοῦ θείου τούτου διδασκάλου, ὥστε ἐπιστολάς τινας αὐτοῦ μὴ περιεχούσας ἀκριβῆ ἑρμηνείαν λέξεών τινων τῆς ἁγίας Γραφῆς, οὐκ ἠβουλήθη ἀποδέξασθαι ὡς συγγράμματα αὐτοῦ (2). Προκόπιος ὁ Γαζαῖος κατεχώρισεν ἐν τῇ ἀρχῇ τοῦ ς΄ αἰῶνος ἐπιστολὰς τοῦ Ἰσιδώρου ἐν τῇ ἑρμηνείᾳ αὐτοῦ εἰς τὸ Ἆσμα τῶν

ως δύνανται ἑρμηνευθῆναι αὐθαιρέτως· βιβλ. Β΄ ἐπ. 175.

(1) Βλ. π. χ. Βιβλ. Α΄ ἐπ. 20, εἰς Ματθ. α΄ 25. Δ΄ ἐπ. 137. Ματθ. ι΄ 16. Α΄ ἐπ. 68. Ματθ. ια΄ 11. Α΄ ἐπ. 79. Ματθ. ε΄ 20. Α΄ ἐπ 371. Β΄ ἐπ. 99. Δ΄ ἐπ. 162. Β΄ ἐπ. 175. Δ΄ ἐπ. 137. Ματθ. ι΄ 16. Δ΄ ἐπ. 165. Ματθ. ιθ΄ 11. Β΄ ἐπ. 150. Α΄ ἐπ. 137. Δ΄ ἐπ. 207. Δ΄ ἐπ. 203.

(2) Rosen mülleri Histor. interpretat. lib. sacror. P. IV. p. 181-214. Οὐκ ὀρθὴν ἑρμηνείαν τῆς Γραφῆς εἶδεν ὁ Ρεσεμμύλερος ἐν ταῖς ἑξῆς ἐπιστολαῖς τοῦ θείου Πατρός: βιβλ. Α΄ ἐπ. 132. Γ΄ 31. Α΄ 190· ἀλλὰ τὸ μὴ ὀρθὸν τοῦτό ἐστιν ἐπακολούθημα τῆς θεωρίας τοῦ σοφοῦ Γερμανοῦ.

ᾀσμάτων. Κατ᾽ ἐξοχὴν δ᾽ ὡς πρὸς τὴν εἰς τὴν Καινὴν Διαθήκην ἑρμηνείαν αἱ ἐπιστολαὶ αὐτοῦ κατεῖχον πάνυ ἔντιμον θέσιν ἐν ταῖς συλλογαῖς τῶν ἐξηγήσεων τῆς Γραφῆς (in Catenis) [*].

Προσθῶμεν τούτῳ, ὅτι ὁ ἅγιος Ἰσίδωρος, καθάπερ καὶ ὁ χρυσορρήμων, λίαν ἐλυπεῖτο ἐπὶ τῇ πρὸς τὴν ἁγίαν Γραφὴν μικρᾷ προσοχῇ τῶν συγχρόνων αὐτῷ, ἡγούμενος αὐτὴν αἰτίαν τῶν τότε πλανῶν(1). Συνεβούλευεν ἑκάστῳ ἀναγινώσκειν τὴν θείαν Γραφὴν ὡς φάρμακον τῶν πνευματικῶν ἀσθενειῶν (2). Ὅτε ἔλεγον αὐτῷ περὶ τῆς ἀσαφείας τῶν Γραφῶν, ἀπεκρίνετο: «Σοφὸν ἔγωγε καὶ τοῦτ᾽ εἶναι ἡγοῦμαι, ὃ σὺ φῂς παράλογον. Εἰ μὲν γὰρ πάντα ἦν δῆλα, ποῦ τῇ συνέσει ἐχρησάμεθα, μὴ οὔσης ζητήσεως; Εἰ δὲ πάντα ἄδηλα, καὶ οὕτως ἀναπεπτώκειμεν ἄν, μὴ οὔσης εὑρέσεως. Νῦν δὲ διὰ τῶν δήλων καὶ τὰ ἄδηλα τρόπον τινὰ καταλαμβάνεται. Εἰ δὲ διαφύγοι, καὶ οὕτως ἡμᾶς ὠφελεῖ, τὸ φύσημα ἡμῶν καταστέλλοντα» (3).

---

[*] Τὴν ἑρμηνείαν τοῦ Προκοπίου ἐξέδωκεν ὁ Μάϊος: Classici Auctores T. IX. Αἱ ἐπιστολαὶ τοῦ ἁγίου Ἰσιδώρου παράγονται ἐν τῇ σειρᾷ τοῦ πρεσβ. Ἀνδρέου εἰς τὰς Πρ. τῶν Ἀποστόλων, ἐκδοθείσῃ ὑπὸ τοῦ Κραμέρου ἐν Ὀξωνίῳ τῷ 1843; Ἐν τῇ σειρᾷ εἰς τὰς πρὸς Τιμόθ., Τίτον καὶ Ἑβρ. ἐπιστ. ἐκδοθ. ὑπὸ τοῦ αὐτοῦ τῷ 1841· ἐν τῇ σειρᾷ εἰς τὸ Εὐαγγέλ. τοῦ Ματθ. ἐκδ. τῷ 1840· ἐν ταῖς σειραῖς εἰς τὴν Γένεσιν καὶ εἰς τὸ Εὐαγγέλιον Fafricii Bibl. Gr. VIII. p. 646, 676, 684, 692, 693.

(1) Βιβλ. Δ´ ἐπ. 133. «Τὸ τὴν ἀνάγνωσιν κατερρυθμῆσθαι τῶν θείων Γραφῶν, καὶ τὸ ἕκαστον τὰ οἰκεῖα πάθη τῶν θείων προκρίνειν χρησμῶν, τῶν τοσούτων τραγῳδιῶν αἴτιον γέγονε. Πόλεμος γὰρ ἄσπονδος καὶ ἀκήρυκτος ἐμπέπτωκε τοῖς τῆς εἰρήνης βραβευταῖς· ἥδιστ᾽ ἂν ἀλλήλων, εἰ ἠδύναντο, γεύσοιντο . . .»

(2) Βιβλ. Β´ ἐπ. 3. « . . . . Τοῖς δὲ θείοις χρησμοῖς διὰ βίαν δίδου σεαυτόν. Οὕτω γὰρ καὶ ἐξ ἐκείνων καὶ ἐκ τούτων ὠφελούμενος, μέγα καὶ σαυτῷ καὶ πᾶσιν ἔσῃ χρῆμα. . .» 73. «Τὴν ἀνάγνωσιν τῶν ἱερῶν Γραφῶν ἐφόδιον ἡγοῦ τῆς σωτηρίας, τρέφουσαν παραδείγμασιν εὐδοκίμοις τὸ φιλόκαλον καὶ ἀνδρῶδες τῶν μετὰ σπουδῆς ἀκροωμένων». 135. βιβλ. Ε´ ἐπ. 38 καὶ 257. Δ´ ἐπ. 90, 91, 160, 280. Γ´ ἐπ. 388. Α´ ἐπ. 24.

(3) Βιβλ. Δ´ ἐπ. 82. Ἐν ἄλλῃ ἐπιστολῇ (βιβλ. Β´ ἐπ. 5. σελ. 129) γράφει: «Εἰ γὰρ πρὸς τὴν αὐτοῦ ἀξίαν μόνον προσέσχεν ὁ Θεός, καὶ μὴ πρὸς τὴν ὠφέλειαν τῶν ἐντευξομένων, οὐρανίοις ἂν καὶ θείοις λόγοις

§. 207. Διδάσκαλος τῆς πίστεως καὶ τῆς ἠθικῆς· ἀγάπη αὐτοῦ πρὸς τὴν καλλιέπειαν.

Ὀλίγας δογματικὰς ἐπιστολὰς ἔγραψεν ὁ ἅγιος Ἰσίδωρος. Ὡς τὰ πολλὰ ἅπτεται δογματικῶν ἐννοιῶν ἔνθα μόνον ποιεῖται λόγον περὶ συγχρόνων ζητημάτων, ἢ ἑρμηνεύει ρητόν τι τῆς ἁγίας Γραφῆς. Καὶ ἐνταῦθα πάλιν ἀδύνατον μὴ ἰδεῖν τὸν μαθητὴν τοῦ Χρυσοστόμου. Τὰ τῆς πίστεως ἐκτίθησιν ἐν ἄκρᾳ σαφηνείᾳ. Εἴδομεν ὅσον ἐσπούδαζεν ἀποτρέψαι τοὺς συγχρόνους αὐτῷ τοῦ ὑποκινηθέντος θεωρητικοῦ ζητήματος καὶ ὅσον περιεσκεμμένος ἦν ἐν τῇ λύσει αὐτοῦ. Τὸ πρῶτον καταδείκνυται ἐν πολλαῖς τῶν ἐπιστολῶν αὐτοῦ (¹). Τοὺς μὲν ἐθνικοὺς ἔπειθε γίγνεσθαι χριστιανοὺς φιλοσοφικαῖς χρώμενος ἀποδείξεσιν, ἢ ταῖς ἀποφάνσεσι τῶν συγγραφέων, οὓς περὶ πλείστου ἐποιοῦντο· τοῖς δ' Ἰουδαίοις ἐδείκνυ τὸ ἀληθὲς τῆς χριστιανικῆς πίστεως ἐρειδόμενος ἐπὶ τῶν μαρτυριῶν τῆς Παλαιᾶς Διαθήκης, ἢ ἐπὶ τῶν λόγων τοῦ Φίλωνος [α]. Διεσκέπτετο περὶ τῆς ὑπάρξεως καὶ τῶν ἰδιοτήτων τοῦ Θεοῦ [β], περὶ τοῦ Δημι-

---

τε καὶ παραδείγμασιν ἐχρήσατο. Ἀλλ' ἐπειδὴ ἀνθρώποις ἐνομοθέτει ἀσθενέσι τυγχάνουσι, καὶ ἀνθρωπίνων δεομένοις λόγων (οὕτω γὰρ ῥᾳδίως τὰ ὑπὲρ αὐτοὺς νοῆσαι ἠδύναντο) ἰδιωτικαῖς λέξεσιν ἐκέρασε τὰ θεῖα μαθήματα, ἵνα καὶ γυνὴ καὶ παῖς, καὶ ἁπάντων ἀνθρώπων ἀμαθέστατος κερδάνῃ τι καὶ ἐξ αὐτῆς τῆς ἀκροάσεως». Ἐν τῇ αὐτῇ ἐπιστολῇ λέγει: «Ἐν τοσαύτῃ γὰρ σαφηνείᾳ οὕτως ἀπόρρητοι λόγοι καθάπερ θησαυροί τινες ἐνοικοῦσιν, ὡς καὶ τοὺς σοφωτάτους καὶ ἐλλογιμωτάτους τῶν ἀνθρώπων πρὸς τὸ βάθος τῶν νοημάτων ἰλιγγιᾶν καὶ παραχωρεῖν πολλάκις τῷ ἀκαταλήπτῳ τῆς σοφίας».

(¹) Βιβλ. Β' ἐπ. 276. Γ' ἐπ. 37, 118. Β' 116. ἴδ. σελ. 102. σημ. 3. σελ. 103. σημ. 3.

[α] Βιβλ. Β' ἐπ. 141, 145, 251. Δ' ἐπ. 225, 76, 80, 150. Γ' ἐπ. 87, 182, 317, 346. Βλ. Niemeyer. p. 184-202.

[β] Βιβλ. Δ' ἐπ. 186. «Ὅπου τάξις, ἐκεῖ ἀναγκαῖος ταξίαρχος· καὶ ὅπου ἱππικὸν τεταγμένον, ἐκεῖ ἵππαρχος· καὶ ὅπου ἡ ναῦς, δῆλος ὁ τεχνίτης· καὶ ἔνθα μουσικὰ ὄργανα, δῆλος καὶ ὁ ἁρμονικός. Οὐκοῦν χρὴ καὶ ἀπὸ τοῦ κόσμου τὸν ἀόρατον καθορᾶν λογισμοῖς, οὐκ ὀφθαλμοῖς, νῷ, οὐ βλέματι». Ε' ἐπ. 28. «—οὐδὲ γὰρ ἄνευ ἀρχιτέκτονος οἰκία οἰκοδομεῖται, οὔτε ἄνευ ναυπηγοῦ ναῦς, οὐδὲ ἄνευ ἁρμονικοῦ μουσικὸν συ-

ουργοῦ καὶ Προνοητοῦ τοῦ κόσμου [γ]· ἤλεγχε τὴν περὶ εἱμαρμένης δοξασίαν [δ]· προυτίθει ὀρθοτάτην διδασκαλίαν περὶ τῆς ἁγίας Τριάδος [ε], περὶ τοῦ Λυτρωτοῦ τοῦ κόσμου [ς], περὶ τῆς δυνάμεως τῶν μυστηρίων τοῦ ἁγίου Βαπτίσματος [ζ], τῆς θείας Εὐχαριστίας [η], τῆς ἱερωσύνης [θ], περὶ τῆς ἀναστάσεως τῶν νεκρῶν [ι], περὶ τῆς κρίσεως τοῦ Θεοῦ [κ], καὶ περὶ τῆς δικαίας ἀνταποδόσεως [λ].

σταίη ὄργανον». Γ΄ ἐπ. 391. «—Ἀπένειμε πρὸς διδασκαλίαν, πρὸς παίδευσιν, πρὸς γνῶσιν, ἵν' ἐκ τοῦ μεγέθους καὶ τῆς καλονῆς τῶν κτισμάτων ὁ γενεσιουργός, ἀόρατος ὤν, θεωρῆται». Δ΄ ἐπ. 58. «—Εἰ μὲν γὰρ ἀγενήτους καὶ αἰτίας κρείττους εἶναι φαῖεν Ἕλληνες, μάλιστα μὲν ἐκ τῆς ἐμμελείας αὐτῶν καὶ τῆς εὐταξίας ἐλεγχθήσονται. Ἡ γὰρ τάξις τὸν ταξίαρχον κηρύττει. Β΄ ἐπ. 299. «—Ἡ δὲ περὶ τῆς οὐσίας Αὐτοῦ βάσανος οὔτ' ἀναγκαία, οὔτ' ἐφικτὴ ἀνθρώποις. Εἰδέναι γὰρ χρὴ καὶ πιστεύειν, ὅτι ἐστὶ Θεός, οὐ τὸ τί ἐστι πολυπραγμονεῖν. Ἀφέμενοι τοίνυν τοῦ περὶ τῆς οὐσίας λόγου ὡς ἀνεφίκτου, καὶ μηδαμῶς ἁλωσίμου, ἀλλὰ πᾶσαν βάσανον ὑπερνηχομένου, τὸν βίον ἑαυτῶν καὶ τὸν τρόπον ῥυθμίσωμεν, ὡς λόγον πάντως ἀποδώσοντες». Β΄ ἐπ. 186. «—Εἰ τοίνυν ἐθέλομεν τὸ πᾶσιν ἀχώρητον χωρῆσαι καὶ ἀξιωθῆναι χρήματος πᾶσαν ὑπερβαίνοντος ἀξίαν, σωφροσύνῃ, καὶ δικαιοσύνῃ, καὶ φρονήσει, καὶ ἀνδρίᾳ, καὶ ταῖς ἄλλαις ἀρεταῖς ἑαυτοὺς κοσμήσωμεν. Ψυχῆς γὰρ ἁγνῆς τόπον οἰκειότερον καὶ πρεπωδέστερον οὐχ ὁρίζεται. Διὸ καὶ ἔφη: ἐνοικήσω αὐτοῖς καὶ ἐμπεριπατήσω». Β΄ ἐπ. 23. Ε΄ ἐπ. 359. Α΄ ἐπ. 343. Γ΄ ἐπ. 299, 18, 149. Β΄ ἐπ. 63. Γ΄ ἐπ. 71. Δ΄ ἐπ. 47. Γ΄ ἐπ. 6. Ε΄ ἐπ. 260.

[γ] Βιβλ. Γ΄ ἐπ. 154. Δ΄ ἐπ. 151. Ε΄ ἐπ. 66.

[δ] Βιβλ. Γ΄ ἐπ. 26, 102, 135, 154, 291, 353. Ε΄ ἐπ. 117.

[ε] Βιβλ. Α΄ ἐπ. 69, 67, 97. Β΄ ἐπ. 142, 143, 157, 212. Γ΄ ἐπ. 27, 112, 149.

[ς] Βιβλ. Α΄ ἐπ. 95, 206, 272, 377, 436. Β΄ ἐπ. 287. Γ΄ ἐπ. 313, 329. Δ΄ ἐπ. 15, 31, 64, 128, 154, 156, 179, 189, 202, Περὶ τῆς διαφθορᾶς τῆς φύσεως Γ΄ ἐπ. 39. Δ΄ ἐπ. 141, 204. Ε΄ ἐπ. 28.

[ζ] Βιβλ. Β΄ ἐπ. 137. Γ΄ ἐπ. 195, 340. Ε΄ ἐπ. 197, 569.

[η] Βιβλ. Α΄ ἐπ. 109. Δ΄ ἐπ. 166. 33.

[θ] Βιβλ. Β΄ ἐπ. 52.

[ι] Βιβλ. Α΄ ἐπ. 284. Β΄ ἐπ. 43. Γ΄ ἐπ. 77. Δ΄ ἐπ. 201. Ε΄ ἐπ. 179.

[κ] Βιβλ. Β΄ ἐπ. 157, 203. Γ΄ ἐπ. 36, 37.

[λ] Βιβλ. Α΄ ἐπ. 267, 333, 379, 460. Β΄ ἐπ. 223. Γ΄ ἐπ. 37, 314.

Ὁ Ἰσίδωρος, ὡς καὶ ὁ θεῖος Χρυσόστομος, ἦν πρακτικὸς διδάσκαλος. «Οὔτε τοὺς λεξιθήρας . . . σοφοὺς κλητέον, ἀλλὰ τοὺς ἐπὶ τῇ πρακτικῇ φιλοσοφίᾳ διαλάμποντας. Εἰ δὲ κοσμοίη τούτους καὶ ἡ λογικὴ σοφωτέρους ὀνομαστέον. Εἰ δὲ καὶ ἡ θεωρητικὴ (φημὶ δὴ ἡ εὐσέβεια, ἣν μόνην κυρίως σοφίαν εἶναι ὁριζόμεθα), σοφωτάτους προσαγορευτέον. Τὴν μὲν ὥσπερ θεμέλιον καὶ οἰκοδομὴν εἶναι, τὴν δὲ ὡς ἐγκαλλώπισμα, τὴν δὲ ὡς κορωνίδα. Ὥσπερ οὖν θεμελίου μὴ ὑπάρχοντος, μηδὲ οἰκοδομίας, οὔτε τὰ κοσμοῦντα, οὔτε τὰ στεφανοῦντα χώραν· οὕτω καὶ ἀρετῆς μὴ ὑπαρχούσης, ἡ λογικὴ καὶ ἡ θεωριτικὴ οὐχ ἕξει» (1). Ἡ ἀρετή ἐστι τάξις τῆς ψυχῆς (2), θρίαμβος τοῦ νοῦ (3), ἀναντίρρητον ἀγαθόν (4). Ταύτην διδάσκει αὐτὴ ἡ ψυχή, καίπερ διαταραχθεῖσα ὑπὸ τῆς πτώσεως (5), ἀλλ᾽ οὐκ ἀπολέσασα τὸν ἐσωτερικὸν νόμον (6). Ἅπασαι αὗται αἱ διδασκαλίαι τοῦ ἁγίου Ἰσιδώρου διαπρέπουσιν ἐπί τε πνευματικῇ πείρᾳ καὶ ἀκριβεῖ γνώσει τοῦ λόγου τοῦ Θεοῦ. Τοιαῦται αἱ διδασκαλίαι περὶ πίστεως [α], περὶ ἐλπίδος [β], περὶ ἀγάπης [γ], περὶ ἁμαρτίας [δ], περὶ μετανοίας (ε), περὶ ὑπερηφανίας (ζ), περὶ φιλαργυρίας (η), περὶ φθόνου (θ), περὶ ὀργῆς (ι), περὶ ῥαθυμίας (κ), περὶ λαγνείας (λ),

---

Δ΄ ἐπ. 199. Έ ἐπ. 43, 72, 78, 151, 186, 215, 220, 324-25, 355-56.

(1) Βιβλ. Β΄ ἐπ. 201.

(2) Βιβλ. Β΄ 12-14, 89, 98. Γ΄ ἐπ. 268.

(3) Βιβλ. Β΄ ἐπ. 107. Γ΄ ἐπ. 322. Δ΄ ἐπ. 78.

(4) Βιβλ. Β΄ ἐπ. 184.

(5) Βιβλ. Γ΄ ἐπ. 162. Δ΄ ἐπ. 124.

(6) Βιβλ. Δ΄ ἐπ. 61, 53, 54. Β΄ ἐπ. 129.

[α] Βιβλ. Έ ἐπ. 101, 185, 186.

[β] Βιβλ. Έ ἐπ. 50, 58, 69, 271, 551.

[γ] Βιβλ. Γ΄ ἐπ. 87, 138, 209, 410. Δ΄ ἐπ. 15.

[δ] Βιβλ. Γ΄ ἐπ. 261. Δ΄ ἐπ. 172, 472, 561.

(ε) Βιβλ. Έ ἐπ. 8, 19, 253, 307, 317, 506, 539. Ά ἐπ. 408.

(ζ) Βιβλ. Έ ἐπ. 3, 127, 169, 262, 504. Γ΄ ἐπ. 32, 34, 50, 52, 68. περὶ ταπεινοφροσύνης βιβλ. Έ ἐπ. 328, 339, 347, 351, 420, 448, 446.

(η) Βιβλ. Έ ἐπ. 36, 55, 67, 79, 104, 142, 181, 186, 224, 271, 390, 447, 455, 488, 512, 545, 567.

(θ) Βιβλ. Έ ἐπ. 256, 294, 298, 341, 392, 398, 479, 559.

(ι) Βιβλ. Έ ἐπ. 180, 189, 227, Γ΄ ἐπ. 150, 208, 254, 303, 338.

περὶ πνευματικῆς πάλης(μ), καὶ περὶ πειρασμῶν(ν). Ἐξαιρέτους διδασκαλίας δίδωσιν ὁ θεῖος Πατὴρ καὶ τῷ ποιμένι τῆς Ἐκκλησίας (ξ).

Αἱ ἐπιστολαὶ τοῦ ἁγίου Ἰσιδώρου παρέχουσι τῷ τε ἱστορικῷ καὶ τῷ ἀρχαιολόγῳ πολλὰς πάνυ ὠφελίμους πληροφορίας περὶ πολλῶν ἐκκλησιαστικῶν πραγμάτων (1). Ἔχουσι δὲ καὶ τὸ πλεονέκτημα, ὅτι ἐγράφησαν ἅπασαι καθαρᾷ, ζωηρᾷ καὶ ἰσχυρᾷ λέξει, καὶ δικαίως δύνανται τεθῆναι ἐν τοῖς προτύποις τῆς εὐεπείας.

Εἰ καὶ ἡ δοξασία τοῦ Εὐμάνου, ὅτι ἅπασαι ἐγράφησαν μόνον ὡς πρότυπα ἐπιστολῶν, οὐκ ἐστάλησαν δὲ πρὸς γνωστὰ πρόσωπα, ἀνασκευάζεται ὑπό τε τοῦ χαρακτῆρος τοῦ προσώπου καὶ τοῦ περιεχομένου τῶν ἐπιστολῶν (2), ὅμως ἀδύνατον μὴ ἰδεῖν, ὅτι ὁ ἅγιος Ἰσί-

(κ) Βιβλ. Ε΄ ἐπ. 51, 81, 243, 248, 767, 412, 533, 541, 554, 557.

(λ) Βιβλ. Ε΄ ἐπ. 29, 64, 148, 237, 241, 247, 306, 329, 403, 496, 511, 528. Κωλύει τὰ θεάματα. Βιβλ. Ε΄ ἐπ. 185, 186, 463, 517. Β΄ ἐπ. 82. Γ΄ ἐπ. 336.

(μ) Βιβλ. Ε΄ ἐπ. 19, 27, 60, 139, 144, 316, 350, 364, 424, 509, 533, 546.

(ν) Βιβλ. Ε΄ ἐπ. 28, 39, 68, 96, 226, 270, 306, 314, 350, 369.

(ξ) Βιβλ. Ε΄ ἐπ. 28, 147-49. 160, 279, 318, 321, 340, 364, 367, 375, 376, 439, 444, 453, 455, 458, 477, 507, 525. Β΄ ἐπ. 205, 208, 284, 293. Γ΄ ἐπ. 20, 216, 238, 259, 306.

(1) Περὶ τῆς σινδῶνος, ἐφ᾽ ἧς ἐτελεῖτο (ὥσπερ καὶ νῦν) τὸ μυστήριον τῆς θείας Εὐχαριστίας (Βιβλ. Α΄ ἐπ. 123), περὶ τῆς ὀθόνης (τοῦ ὠραρίου) (Βιβλ. Α΄ ἐπ. 136) περὶ τῆς ψαλμωδίας (Βιβλ. Α΄ ἐπ. 90) περὶ τῶν ἐκφωνήσεων (Βιβλ. Α΄ ἐπ. 122), περὶ τῶν ἑορτῶν (βιβλ. β΄ 116), περὶ τῆς ἀξίας τοῦ Πατριάρχου τῆς Ἀλεξανδρείας (βιβλ. β΄ ἐπ. 127), περὶ ἀρχιδιακόνου (βιβλ. Α΄ ἐπ. 29, 77), κτλ. Πρβλ. σ. 101. σημ. 1, 3.

(2) Ἐν πολλαῖς ἐπιστολαῖς λέγει ὁ θεῖος Πατήρ, ὅτι γράφει αὐτάς, διότι ὄφειλε διδάσκειν καὶ ἀφυπνίζειν τὸν ἁμαρτωλὸν (Βλ. π. χ. Βιβλ. Β΄ ἐπ. 16), ἐντεῦθεν δ᾽ ὁ κύριος τῶν ἐπιστολῶν σκοπός ἐστιν ὡρισμένος. Ἐν πολλαῖς αὐτῶν λέγεται, ὅτι γράφονται εἰς ἀπόκρισιν ἐρωτήσεων· ἐν ἐνίαις παραπέμπει εἰς προτέρας ἐπιστολάς. Τὰ πρόσωπα, ὧν τὰ ὀνόματα ἀναγινώσκονται ἐν ταῖς ἐπιγραφαῖς, εἰσὶν ἱστορικά, καὶ τὰ περιστατικὰ αὐτῶν, ὅσον δυνατὸν μαθεῖν περὶ τούτου ἐξ ἄλλων πηγῶν, εἰσιν ἱστορικά. Οὐ μὴν ἀλλὰ βλ. παρομοίαν ἀνασκευὴν τῆς δοξασίας τοῦ Εὐμάνου παρὰ τῷ Niemeyer. Comm. p. 42-59.

δωρος, καθάπερ καὶ ὁ ἅγιος Γρηγόριος ὁ Θεολόγος, ἐβούλετο ἵνα αἱ χριστιανικαὶ ἔννοιαι ἐκτιθῶνται μετὰ καλλιεπείας. Ἑκατὸν τριάκοντα περίπου τῶν ἐπιστολῶν αὐτοῦ ἅπτονται τῶν κανόνων τοῦ κεκαλλιεπημένου λόγου. Ἅπασαί εἰσι πρότυπον ἀρίστων ἐπιστολῶν. Ἄριστα ἐγίγνωσκε κρατεῖν τῆς τε λέξεως καὶ τῆς καρδίας. Αὐτὸ ἐβούλετο ἔχειν καὶ τοὺς ἄλλους. Λαμπρῶς καὶ ζωηρῶς περιγράφει τῷ ἐπισκόπῳ Ἐλαφίῳ τὸ παράδοξον πάθος τῶν συγχρόνων πρὸς τὸν Δημοσθένην, οὐχὶ δὲ πρὸς τοὺς Ἀποστόλους, ἀλλὰ προστίθησιν, ὅτι δεῖ γράφειν κατ' αὐτόν. Μετὰ τοῦ γραμματικοῦ Ὠρφελίου διασκέπτεται περὶ τοῦ ἐπιστολιμαίου χαρακτῆρος, καὶ αἱ ἐπιστολαὶ αὐτοῦ ἐγράφησαν κατὰ τοὺς ὑπ' αὐτοῦ τεθέντας κανόνας(1). Τῷ σοφιστῇ Ἁρποκρᾷ γράφει περὶ τῶν γενῶν τῆς λέξεως καὶ περὶ τοῦ πῶς δεῖ κρίνειν τοὺς συγγραφεῖς. Τοιούτων οὐσῶν τῶν ἐπιστολῶν τοῦ θείου Πατρός, πάνυ ὠφέλιμον, ἵνα αὗται καὶ νῦν ἀντικαταστήσωσι τὰς τῶν ἐθνικῶν καὶ τῶν μιμουμένων τὸ πνεῦμα αὐτῶν, ὡς αὐτὸς ἐπόθει τοῦτο [*].

§. 208. Ὁ ὅσιος Νεῖλος· βίος αὐτοῦ· ἀσχολία περὶ τὴν ἑρμηνείαν τῆς ἁγίας Γραφῆς καὶ τὰ δόγματα.

Ὁ ὅσιος Νεῖλος εἷλκε τὸ γένος ἐκ πλουσίων καὶ εὐγενῶν. Πιθανὸν δ' ὅτι ἐγένετο ἀκροατὴς καὶ μαθητὴς τοῦ Χρυσοστόμου ἐν Ἀντιοχείᾳ ὄντος ἱεροκήρυκος. Τὸ ἐπίσημον τοῦ γένους καὶ αἱ ἔξοχοι

(1) Βιβλ. Ε' ἐπ. 150.

[*] Περὶ τῶν ἐπιστολῶν τοῦ ἁγίου Ἰσιδώρου λέγει ὁ σοφὸς Fessler τάδε : « Epistolae S. Isidori, perbreves fere omnes, elegantiam vere Atticam, summum ingenii acumen, miram eloquentiæ vim cum eruditione omni gena et pietate insigni simul junctam exhibent, ita ut in optimo scriptorum asceticorum genere vix quidpiam magis pium, ad animi domandas perturbationes et a vitiis vi summa deterrendum vel ad virtutem instillandam illustrius existat. Solet autem epistolas cujusvis generis praeclara aliqua sententia vel elegante quadam cohortatiuncula claudere atque ita lectori aculeum quemdam infigere ....» (Institut. Patrolog. T. II. p. 625). Βλ. καὶ Tillemont I. c. Art. X. (p. 117-18). Ceillier I. c. Art. II. § VI. n. I. (p. 638-39). Σ.Μ.

ἀρεταί, ὑφ᾽ ὧν ἐκοσμεῖτο, ἀνεβίβασαν αὐτὸν εἰς τὸ ἀξίωμα Ἐπάρχου τῆς πρωτευούσης. Ἀλλ᾽ αἱ ἐν τῇ αὐλῇ τοῦ Αὐτοκράτορος κακίαι ἐνέπλησαν αὐτὸν φόβου περὶ τῆς σωτηρίας αὐτοῦ καὶ ἐντεῦθεν περὶ τὸ 390 ἔγνω καταλιπεῖν καὶ κόσμον καὶ σύζυγον. Ἀναθεὶς δὲ αὐτῇ τὴν περὶ τῆς ἀνατροφῆς τῶν νεαρῶν αὐτοῦ θυγατέρων μέριμναν, ἔλαβε μεθ᾽ ἑαυτοῦ τὸν υἱὸν Θεόδουλον, καὶ ἀπεχώρησεν εἰς ἓν τῶν τοῦ Σινᾶ μοναστηρίων (1). Ἐνταῦθα—ἐν σπηλαίῳ ἀνασκαφέντι ταῖς χερσὶν αὐτοῦ, οὐχὶ ἄρτος, ἀλλ᾽ ἄγρια καὶ πικρὰ φυτὰ ἦσαν ἡ τροφὴ αὐτοῦ. Ὅτε (τῷ 405) ἐξωρίσθη ὁ μέγας Χρυσόστομος, ἔγραψε πρὸς τὸν Αὐτοκράτορα Ἀρκάδιον δύο ἐπιστολάς, δι᾽ ὧν αὐστηρῶς ἤλεγξε τὰς πρὸς τὸν Ἱεράρχην γενομένας ἀδικίας(2). Πρὸς δοκιμασίαν τῆς πρὸς τὸν Κύριον ἀγάπης αὐτοῦ καὶ αὐτῷ ἐγένετο ἴδιος πειρασμός. Οἱ ἄγριοι Ἄραβες ἀνεστάτωσαν τὰς ἀνατολικὰς χώρας τῆς Αὐτοκρατορίας· πολλοὶ τῶν μοναχῶν τὸ μὲν ἐφονεύθησαν, τὸ δὲ ἀπήχθησαν εἰς αἰχμαλωσίαν. Ὁ υἱὸς τοῦ Νείλου, ἡ μόνη αὐτοῦ ἐπὶ τῆς γῆς παρα-

(1) Νεῖλος ἐν τοῖς διηγήμασιν εἰς τὴν ἀναίρεσιν τῶν ἐν τῷ ὄρει Σινᾷ μοναχῶν. β´ 13. Μηνολόγ. τοῦ Βασιλείου. Ἡ σύζυγος αὐτοῦ ἀπεχώρησεν εἴς τινα τῶν μονῶν τῆς Αἰγύπτου, λαβοῦσα μεθ᾽ ἑαυτῆς τὴν θυγατέρα. Μηνολόγ. τοῦ Βασιλείου. Ὁ Νικηφόρος καλεῖ τὸν Νεῖλον μαθητὴν τοῦ Χρυσοστόμου (ἐκκλ. ἱστορ. ιδ´ 30).

(2) Βιβλ. Γ´ ἐπ. 279. «Ἰωάννην τὸν μέγιστον φωστῆρα τῆς οἰκουμένης, τὸν Βυζαντίδος πρόεδρον, οὐκ εὐλόγως εἰς ἐξορίαν ἐξέπεμψας, ἐκ πολλῆς ἐλαφρίας τοῖς μὴ ὑγιαίνουσι τὸ φρονεῖν ἐπισκόποις παραπεισθείς. Τῆς τοίνυν ἀλωβήτου καὶ ἀκραιφνοῦς διδασκαλίας τὴν καθολικὴν Ἐκκλησίαν στερήσας, μὴ ἀναλγήτως διάκεισο». Β´ ἐπ. 265. «Πῶς ἐπιθυμεῖς τὴν Κωνσταντινούπολιν τῶν πυκνοτάτων σεισμῶν καὶ τῆς ἐπελεύσεως τοῦ αἰθερίου πυρὸς ἀπηλλαγμένην ἰδεῖν, μυρίων ἀτοπημάτων αὐτόθι γινομένων, καὶ νομιστευομένης τῆς κακίας καὶ παρρησίᾳ πολλῇ, ἐξορισθέντος τοῦ στύλου τῆς Ἐκκλησίας, τοῦ φωτὸς τῆς ἀληθείας, τῆς σάλπιγγος τοῦ Χριστοῦ, Ἰωάννου τοῦ μακαριωτάτου ἐπισκόπου; Πῶς με προτρέπεις εὐχὴν χαρίσασθαι σαλευομένῃ τῇ πόλει ἐκ τῆς τοῦ Θεοῦ ὀργῆς, καὶ πρηστῆρας καθ᾽ ἑκάστην ἐξ ὕψους προσδοκώσῃ, ἐμοῦ καταπρησθέντος τῷ πυρὶ τῆς ἀθυμίας, καὶ τοὺς λογισμοὺς διασεσαλευμένου, καὶ κατατεμνομένου τὴν ἔννοιαν ἐπὶ τῇ ὑπερβολῇ τῶν ἐν τοῖς παροῦσι χρόνοις παρανόμως κατα τὸ Βυζάντιον πεπραγμένων»;

μυθία, συνελήφθη ὑπὸ τῶν βαρβάρων. Ἤδη ὡρίσθη εἰς θυσίαν τῷ ἀστέρι Ἀφροδίτῃ, ἀλλ' ἀπροσδοκήτως ἐξηγοράσθη ἐν Ἀλούσῃ ὑπὸ τοῦ ἐπισκόπου. Ὁ τεθλιμμένος πατὴρ ἐζήτει ἐπὶ πολὺ τὸν υἱόν, μέχρις οὗ εὗρεν αὐτὸν παρὰ τῷ ἐπισκόπῳ, ὃς ἐχειροτόνησεν ἀμφοτέρους ἱερεῖς (1). Ὁ Νεῖλος διήγαγεν ἐν τῇ ἐρήμῳ ἑξήκοντα ὅλα ἔτη, καὶ ἐτελεύτησε περὶ τὸ 450 (2).

Ὁ τοῦ θείου Χρυσοστόμου, Νειλῷος καὶ φερώνυμος μαθητὴς ἠσχολήθη περὶ τὴν ἑρμηνείαν τῆς ἁγίας Γραφῆς, ὡς ὁρῶμεν ἐν ταῖς ἐπιστολαῖς αὐτοῦ. Οἱ ἄριστοι τῶν συλλογέων τῶν ἑρμηνειῶν τῶν Πατέρων, οἷος π. χ. Προκόπιος ὁ Γαζαῖος, ἐτίθεσαν ἐν ταῖς συλλογαῖς αὐτῶν τὰς ἑρμηνείας αὐτοῦ (3). Ἐν τῇ ἑρμηνείᾳ ὁ Νεῖλος εἴχετο τοῦ γράμματος τῆς Γραφῆς [α], ἐνίοτε δὲ φράσεις καὶ λέξεις τῶν λοιπῶν ἑρμηνειῶν πρὸς τῇ τῶν Ο΄ παραβάλλει, σαφεστέραν ταύτην ἀναδεικνύς [β]. Ὑπερήσπιζε δὲ καὶ τὴν ἀλληγορικὴν ἑρμηνείαν [γ] [*].

---

(1) Νείλ. ἐν τοῖς διηγήμ. εἰς τὴν ἀναίρ. τῶν ἐν τῷ ὄρει Σινᾶ μοναχῶν. § 7. Τὸ Μηνολόγ. τοῦ Βασιλείου (Ἰαν. ιδ΄) καλεῖ τοὺς βαρβάρους τούτους Βλέμμυας, οἵ, λέγει, ἀπὸ Ἀραβίας ἕως Αἰγύπτου, καὶ θαλάσσης Ἐρυθρᾶς κατὰ τὴν ἔρημον ἦσαν παρατεταμένοι.

(2) Ἡ μνήμη τοῦ ὁσίου Νείλου τελεῖται τῇ ιβ΄ Νοεμβρίου καὶ τῇ ιδ΄ Ἰανουαρίου. Τὰ ἅγια αὐτοῦ λείψανα μετεκομίσθησαν εἰς τὸν ἐν Κωνσταντινουπόλει ναὸν τῶν ἁγίων Ἀποστόλων ἐπὶ Ἰουστίνου τοῦ νεωτέρου (Νικηφ. ἐκκλ. ἱστορ. ιδ΄ 54) ἔπειτα διεσώθησαν ἐν Ἄθῳ. Montfaucon. Palaeogr. p. 491.

(3) Ἡ ἑρμηνεία Προκοπίου τοῦ Γαζαίου εἰς τὸ Ἆσμα τῶν ᾀσμάτων, ἔνθα κατεχωρίσθησαν καὶ αἱ ἐξηγήσεις τοῦ ἁγίου Νείλου, ἐξεδόθη ὑπὸ Μαΐου Clas auct. T. IX Ἄλλη συλλογὴ ἑρμηνειῶν εἰς τὸ Ἆσμα τῶν ᾀσμάτων ἐπ' ἴσης μετ' ἐξηγήσεων τοῦ Νείλου, ἐξεδόθη ὑπὸ Δουκαίου in Auct B. Parisiis 1624. Ἐν ταῖς Σειραῖς οὐ σπανίως ἀπαντῶσιν ἑρμηνεῖαι αὐτοῦ: α΄] ἐν τῇ συλλογῇ τῶν ἑρμ. εἰς τὸ βιβλ. τοῦ Ἰώβ, τῇ ἐκδοθ. ὑπὸ Ἰουνίου Londini 1636. β΄] ἐν τῇ Σειρᾷ εἰς τὸ Εὐαγγέλ. τοῦ Λουκᾶ, τῇ ἐκδοθ. ὑπὸ Καρδέρου Antverpiæ, 1626.

[α] Βλ. π. χ. Α΄ 55-57, 147, 152-54. Γ΄ 166-67, κτλ.

[β] Γ΄ 38, 78, 191.

[γ] Β΄ 223. Παραδείγμ. Α΄ 242-44, 265-68. Β΄ 14-16 καὶ καθ.

[*] Καὶ ὁ τρισμακάριστος οὗτος Πατὴρ ἐξυμνεῖ τὴν ἐν τῇ ἁπλότητι

Καὶ τὰ δόγματα τῆς πίστεως ἦσαν ὑπόθεσις τῶν ἐν τῇ ἐρημίᾳ μελετῶν αὐτοῦ. Ἐξαιρέτως ἔγραψεν ἐν τῇ πρὸς Βενιαμὶν Ἑβραῖον ἐπιστολῇ περὶ τῆς ἀναφορᾶς τοῦ ἰουδαϊσμοῦ πρὸς τὸν Χριστιανισμόν. «Φάσκεις, λέγει, ἐν πολλοῖς τὸν Ἰησοῦν ἐπαινεῖν, ἐν δὲ τῷ παρειδεῖν αὐτὸν καὶ λῦσαι τὸ Σάββατον, καὶ σφόδρα ἀγανακτεῖν. Ἀλλ᾽ οὐ πάντοτε νήπιον χρὴ ὑπάρχειν τὸν ἄνθρωπον· εἰς ἄνδρα γάρ τις τελέσας, οὐκ ἔτι ἀνέξεται ποτίζεσθαι γάλακτι, καὶ ὁ πρὸς τὰ τῶν φιλοσόφων ὁρμήσας μαθήματα, οὐκ ἂν καταδέξαιτο ἀλφαβήτῳ προσκαρτερεῖν. Πρὸ τοίνυν τοῦ τὴν οὐράνιον ἐπιδημῆσαι σοφίαν τοῖς ἀνθρώποις, καλὴ ἐτύγχανεν ἡ τοῦ Σαββάτου παρατήρησις καὶ ὠφέλιμος, νῦν δέ, κατὰ τὴν Χριστοῦ ἐπιδημίαν, οὐκ ἔστιν ἐπιτήδειος· ἐπάνω γὰρ καὶ ἡμερῶν, καὶ χρόνων, καὶ παντὸς τοῦ κόσμου φρονήσει Χριστιανόν» (Βιβλ. Α´ ἐπ. 124). Τί ἐκήρυττεν ὁ Ἰησοῦς; «οὐ πᾶν ὅ,τι ᾔδει», λέγει, «ἀλλὰ μόνον ὅ,τι ἠδύναντο δέξασθαι, συμμετρῶν τὸν λόγον τῆς διδασκαλίας τῇ ἀσθενείᾳ τῆς φύσεως ἡμῶν». Τὴν ὑψηλὴν ἀξίαν τῆς ἁγίας Γραφῆς ἐξέθηκεν ἐν τῇ πρὸς τὸν διάκονον Τερέντιον ἐπιστολῇ αὐτοῦ. Πρὸς δὲ τὸν σχολαστικὸν Φίλιππον ἔγραψε περὶ τοῦ μυστηρίου τῆς θείας Εὐχαριστίας τάδε: «Ἐκ παπύρου καὶ κόλλης χάρτης κατασκευασθείς, χάρτης ψιλὸς καλεῖται,

---

τῆς φράσεως δύναμιν τῆς ἁγίας Γραφῆς, καὶ ἐπιχαρίτως παραβάλλει αὐτὴν πρὸς τὰ ἰορδάνεια ῥεῖθρα. «Ὅταν, λέγῃ, ἴδῃς ἄνθρωπον ἄπιστον και φιλόκοσμον ἐγκαυχώμενον τῇ ματαιότητι τῆς προσκαίρου σοφίας, καὶ εὐτελίζοντα τὴν θεόπνευστον Γραφήν, ὡς μὴ ἀττικίζουσαν, γίνωσκε τοῦτον Ναιμὰν ὑπάρχειν τὸν Σύρον, λελεπρωμένον ὅλον διὰ τῆς ἀπιστίας, πρὶν ἐπιγνῷ τὸν εὐεργέτην Θεόν· ὅστις ἄγαν μὲν ἐθαύμαζε τοὺς μεγίστους τῆς Δαμασκοῦ ποταμούς, μηδαμῶς δυναμένους ἕνα λεπρὸν ἀπαλλάξαι τῆς καταστίκτου λέπρας, ηὐτέλιζε δὲ τὸν ἐν τῇ γῇ τοῦ Ἰσραὴλ Ἰορδάνην. Ἔχομεν γὰρ καὶ ἡμεῖς, νοητοὶ Ἰσραηλῖται ὄντες, τὰ τῆς θείας Γραφῆς ἰορδάνεια ῥεῖθρα, ἅπερ κατὰ μὲν τὴν προφορὰν τοῦ λόγου, οὐδαμινά τε καὶ ἐλάχιστα φαίνεται, κατὰ δὲ τὰς δυνάμεις τῶν μυστηρίων, τῶν κεκρυμμένων τοῖς τοῦ Χριστοῦ διδάγμασιν, ὕδατι ἀλλομένῳ εἰς ζωὴν αἰώνιον, ἰατρεύοντι, καὶ καθαίροντι, καὶ φωτίζοντι, ὑπερφυῆ τε τυγχάνει καὶ θαυμαστά». κτλ. (Σχολ. εἰς Δ. Βασιλ. έ 12, ἐν ὀκτατ. Τ. 2. σελ. 487). Σ. Μ.

ἐπὰν δὲ ὑπογραφὴν δέξηται βασιλέως, δῆλον ὡς Σάκρα ὀνομάζεται. Οὕτω μοι νόει καὶ τὰ θεῖα μυστήρια. πρὸ μὲν τῆς ἐντεύξεως τοῦ ἱερέως καὶ τῆς καθόδου τοῦ ἁγίου Πνεύματος ψιλὸν ἄρτον ὑπάρχειν καὶ οἶνον κοινὸν τὰ προκείμενα· μετὰ δὲ τὰς φοβερὰς ἐκείνας ἐπικλήσεις καὶ τὴν ἐπιφοίτησιν τοῦ προσκυνητοῦ καὶ ζωοποιοῦ καὶ ἀγαθοῦ Πνεύματος. οὐκ ἔστι ψιλὸν ἄρτον καὶ ψιλὸν οἶνον τὰ ἐπιτεθειμένα τῇ ἁγίᾳ Τραπέζῃ, ἀλλὰ Σῶμα καὶ Αἷμα τίμιον καὶ ἄχραντον Χριστοῦ τοῦ Θεοῦ τῶν ἁπάντων καθαρίζον ἀπὸ παντὸς μολυσμοῦ τοὺς μεταλαμβάνοντας φόβῳ καὶ πόθῳ πολλῷ» (1). Μετὰ τῆς αὐτῆς ἀκριβείας ἐδίδασκε περὶ τῆς Ἐξομολογήσεως καὶ τῆς Ἱερωσύνης [*]. Πάνυ δὲ εὐφυῶς ἡρμήνευσε τῷ Σαμαρείτῃ Ἀφθονίτῃ τὴν ἀνάστασιν τῶν νεκρῶν (2). Περὶ τῆς αὐτῆς ὑποθέσεως ἐξεφώνησε καὶ δύο ἐξαιρέτους λόγους (3). Τέλος ἐν ἰδίᾳ ἐπιστολῇ ἐπραγματεύσατο περὶ τοῦ μυστηρίου τῆς ἁγίας Τριάδος (4). Ἐν αὐτῇ ἐθεολόγει περὶ τῆς ἁγίας Τριάδος ὧδε: «Ἡ ἁγία καθολικὴ Ἐκκλησία διδάσκει, ὅτι ὁ Πατὴρ οὐκ ἐγεννήθη. ὁ Υἱὸς ἐγεννήθη ἐκ τοῦ Πατρός, τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεται ἐκ μόνου τοῦ Πατρός» [α].

---

(1) Βιβλ. Α΄ ἐπ. 44. Βλ. καὶ 99-101. Β΄ 144, 233, 294. Γ΄ 39, 280. Δ΄ 55.

[*] Βιβλ. Γ΄ ἐπ. 243, 61, 63. 135, 171, 236, 243, 325. Β΄ 303, 326.

(2) Βιβλ. Α΄ ἐπ. 109-113, 173 Β΄ 78, 82, 170, 200. Γ΄ 120. 135

(3) Παρὰ Φώτ. ἀνάγν. σος΄.

(4) Ἡ ἐπιστ. αὕτη κατεχωρίσθη ἐν τῷ γρ. ἀναγν.

[α] Ἡ ἐπιστολὴ αὕτη ἐπιγράφεται: Ἐπιστολὴ δογματικὴ περὶ τῆς ἁγίας Τριάδος πρὸς τοὺς ἐν πατρίδι μονάζοντας ἡνίκα ἦν ἐν Κωνσταντινουπόλει μετὰ τοῦ μακαρίου Γρηγορίου Ναζιανζηνοῦ. Κατὰ τὸν Κεϊλλίερον, τὸν Μίγνιον, καὶ ἄλλους ἐστὶν ἡ ὀγδόη ἐπιστολὴ Βασιλείου τοῦ Μεγάλου. Ὁ Μίγνιος ἐτύπωσεν αὐτὴν ἐν τῷ τετάρτῳ τόμῳ τῶν ὑπ' αὐτοῦ ἐκδοθέντων συγγραμμάτων τοῦ φωστῆρος τῆς Καισαρείας καὶ ἁπάσης τῆς Ἐκκλησίας σελ. 245, καὶ φέρει τὴν ἐπιγραφήν: «Τοῖς Καισαρεῦσιν ἀπολογία περὶ τῆς ἀποχωρήσεως, καὶ περὶ πίστεως. Περὶ τοῦ ἁγίου Πνεύματος γράφει ὁ θεῖος Πατὴρ ἐν τῷ Β΄ βιβλ. ἐπ. 210 Νημερτίῳ ἐκδίκῳ τάδε: «Ἐρωτᾷς με διὰ τοῦ γράμματός σου εἰ χρή τις λέγειν ὁμοούσιον εἶναι τὸ Πνεῦμα τὸ ἅγιον τῷ Πατρὶ καὶ τῷ Υἱῷ. Ἡ-

§. 209. Ἡ κυρία ὑπόθεσις τῶν συγγραμμάτων τοῦ ὁσίου Νείλου ἐστὶν ὁ πνευματικὸς βίος (1).

Τὸ ἄριστον τῶν ἀσκητικῶν συγγραμμάτων τοῦ τρισολβίου Πατρός ἐστιν ὁ περὶ προσευχῆς λόγος εἰς 153 κεφάλαια διειλημμένος. « Ἡ προσευχή, λέγει, ὁμιλία ἐστὶ νοῦ πρὸς Θεόν· ποίας οὖν δεῖται καταστάσεως ὁ νοῦς, ἵνα ἡσυχάσῃ ἀμεταστρόφως ἐκσταθῆναι

μεῖς δὲ οὕτως ἔχομεν, καὶ οὕτω πιστεύομεν παρὰ Πατέρων θείων δεδιδαγμένοι, καὶ οὕτως ὁμολογοῦμεν ὁμοούσιον εἶναι τῷ Πατρὶ καὶ τῷ Υἱῷ τὸ πανάγιον Πνεῦμα τὸ Παράκλητον συναΐδιον, σύνθρονον, συμβασιλεῦον, συνδοξαζόμενον τῷ Πατρὶ καὶ τῷ Υἱῷ εἰς ἀπεράντους αἰῶνας τῶν αἰώνων. Αμήν. Βλ. καὶ ἐπ. 204 Βιβλ. Α΄ ἐπ. 191, 255, 174, 206 Β΄ 39. Ἄριστα ἃ λέγει περὶ τοῦ μυστηρίου τῆς θείας Ἐνανθρωπήσεως ἐν βιβλ. Β΄ ἐπ. 40. Α΄ ἐπ. 170. Περὶ τῆς ἀειπαρθενίας τῆς Θεομήτορος ποιεῖται λόγον ἐν βιβλ. Α΄ ἐπ 272, 293, 270, 269, 271. Β΄ ἐπ. 180. Περὶ τῶν ἀγγέλων ἐν τῷ λόγῳ περὶ προσευχῆς κεφ. πα΄ σελ. 496. Περὶ τῆς χάριτος, τοῦ σημείου τοῦ Σταυροῦ, καὶ περὶ τοῦ ὀνόματος τοῦ Ἰησοῦ πρὸς Εὐλογ. κεφ. 15. ἐπιστ. 242 βιβλ Β΄ ἐπ. 33. βιβλ. Γ΄ ἐπ 304 βιβλ. Β΄ ἐπ. 278. βιβλ Γ΄. Περὶ τοῦ Βαπτίσματος βιβλ. Β΄ ἐπ. 235. Α΄ 204. Περὶ τῆς ἐπικλήσεως τῶν ἁγίων καὶ περὶ τῶν ἁγίων εἰκόνων βιβλ. Δ΄ ἐπ. 62 καὶ 61. Τῶν δύο τούτων ἐπιστολῶν ἐμνημόνευσεν ἡ Ζ΄ Οἰκουμεν. Σύνοδος Πρ. Δ΄. (Mansi T. XIII. col 31-38). Σ. Μ.

(1) Ἐκδ. τῶν συγγραμμάτ. αὐτοῦ: α΄] αἱ ἐπιστ. τὸν ἀριθ. 1061 ὑπὸ Ἀλλατίου Romæ 1668 β΄] Tractatus seu opuscula gr. et lat. ed Suares. Rom. 1673. γ΄] Διήγησις εἰς τὴν ἀναίρεσιν τῶν ἐν τῷ ὄρει τῷ Σινᾷ. . . . ed. Combefis. in triumph. Mart. Paris 1660, 4. ὑπὸ Γαλλανδίου in B Patr. T. 4. λατιν. μόνον in Act. SS. ad 14 Januarii δ΄] Αἱ γνῶμαι τὸν ἀριθμ. 229 ἐξεδόθ. μετὰ σημειώσεων ὑπὸ Σοννήγου Francof. 1608 in Auct. Ribl. Patr. ὑπὸ Φρόντωνος. Ὑπὸ τὸ ὄνομα αὐτοῦ ἐξεδόθ. περὶ τῶν ὀκτὼ πνευμάτων τῆς πονηρίας ὑπὸ Κομβεφισίου in Auct. 1672, ὑπὸ Σουαρεσίου τῷ 1673.—Ὁ λόγος πρὸς Εὐλόγιον μοναχὸν ὑπὸ Σουαρεσίου τῷ 1673, ὡς καὶ πρὸς τὸν αὐτὸν Εὐλόγιον) λόγος περὶ τὰς ἀντιζύγους τῶν ἀρετῶν κακίας, καὶ τὰ κεφάλαια περὶ διαφόρων πονηρῶν λογισμῶν. Ἀλλὰ ταῦτα πάντα κατὰ τὰ ἀρχαῖα ἀπόγραφα καὶ τὰ μνημεῖα

πρὸς τὸν οἰκεῖον Δεσπότην, καὶ συνομιλεῖν αὐτῷ μηδενὸς μεσιτεύοντος; . . . Πρῶτον περὶ λήψεως δακρύων προσεύχου, ἵνα διὰ τοῦ πένθους μαλάξῃς τὴν ὑπάρχουσαν ἐν τῇ ψυχῇ σου ἀγριότητα, καὶ ἐξαγορεύσας κατὰ σοῦ τὴν ἀνομίαν σου τῷ Κυρίῳ, παρ᾿ Αὐτοῦ ἀφέσεως τεύξῃ . . . . Ἀγωνίζου στῆσαι τὸν νοῦν σου κατὰ τὸν καιρὸν τῆς προσευχῆς κωφὸν καὶ ἄλαλον, καὶ δυνήσῃ προσεύξασθαι . . . ἡ μνησικακία ἀμαυροῖ τὸ ἡγεμονικὸν τοῦ προσευχομένου, καὶ σκοτίζει τούτου τὰς προσευχάς. Μὴ ἐν μόνοις τοῖς ἐκτὸς σχήμασι προσεύχου, ἀλλὰ τρέπε τὸν νοῦν σου εἰς αἴσθησιν πνευματικῆς προσευχῆς μετὰ πολλοῦ φόβου . . . Ἐὰν περιβλέπηται ὁ νοῦς σου ἀκμὴν ἐν τῷ καιρῷ τῆς προσευχῆς, οὐδέπω ὡς μοναχὸς προσεύχεται, ἀλλ᾿ ἔτι κοσμικός ἐστι, τὴν ἔξωθεν σκηνὴν καλλωπίζων . . . Κατάστασίς ἐστι προσευχῆς ἕξις ἀπαθής, ἔρωτι ἀκροτάτῳ εἰς ὕψος νοητὸν ἁρπάζουσα τὸν φιλόσοφον καὶ πνευματικὸν νοῦν . . . Εἰ θεολόγος εἶ, προσεύξῃ ἀληθῶς, καὶ εἰ ἀληθῶς προσεύξῃ, θεολόγος εἶ . . . . Τὸ ἅγιον Πνεῦμα συμπάσχον τῇ ἡμετέρᾳ ἀσθενείᾳ, καὶ ἀκαθάρτοις οὖσιν ἐπιφοιτᾷ ἡμῖν, καὶ εἰ εὕροι τὸν νοῦν ἡμῶν φιλαλήθως αὐτῷ προσευχόμενον, ἐπιβαίνει αὐτῷ, καὶ ἅπασαν τὴν κυκλοῦσαν αὐτὸν τῶν λογισμῶν, ἢ τῶν νοημάτων φάλαγγα ἐξαφανίζει, προπεμπόμενον αὐτὸν εἰς ἔργα πνευματικῆς προσευχῆς . . . Μὴ θελήσῃς, ὡς σοὶ δοκεῖ, ἀλλ᾿ ὡς Θεῷ ἀρέσκει, τὰ κατὰ σὲ γενέσθαι, καὶ ἔσῃ ἀτάραχος, καὶ εὐχάριστος ἐν προσευχῇ σου . . . Ἐὰν προσευχῆς ἐπιμελῇ, ἑτοιμάζου πρὸς ἐπαγωγὰς δαιμόνων, καὶ καρτερῶς τὰς παρ᾿ αὐτῶν μάστιγας ὑπόμενε· ὡς γὰρ θῆρες ἄγριοι ἐπελεύσονταί σοι, καὶ πᾶν σου κακώσουσι τὸ σῶμα . . . ὅρα μή σε ἀπατήσωσι διά τινος ὀπτασίας οἱ πονηροὶ δαίμονες, ἀλλὰ γίνου σύννους τρεπόμενος εἰς εὐχήν, καὶ παρακάλει τὸν Θεόν, ἵνα, εἰ μὲν ἐξ αὐτοῦ ἐστι τὸ νόημα, αὐτός

ἀνήκουσιν εἰς Εὐάγριον τὸν Ποντικὸν (Assem. B. O. III. 1. p 48. Maii Collect Vet. Auct. T. IV. p 200. Lambecii Comm Vindob. V. 189. Τὰ συγγράμματα τοῦ ὁσίου Νείλου μετεφράσθησαν εἰς τὴν ἀρμεν. γλῶσσαν κατὰ τὸν έ αἰῶνα (Neumann Gesch. d. Armen. Litter. S. 89). Περὶ τῆς συρ. μεταφρ. γνωστῆς ἐκ χειρογράφ. τοῦ ή αἰῶνος βλ. Assem. B. O. III. 1. p. 48. Maii Collect. vet. auct. T. V. p. 141, 599.

σε φωτίσῃ, εἰ δέ μή γε, τὸ τάχος τὸν πλάνον ἀπελάσῃ ἀπὸ σοῦ, καὶ θάρσει, ὡς οὐ στήσονται οἱ κύνες, σοῦ ἐμπείρως τῇ πρὸς Θεὸν ἐντεύξει κεχρημένου· εὐθέως γὰρ ἀοράτως καὶ ἀφανῶς Θεοῦ δυνάμει μαστιζόμενοι, μακρὰν ἐλασθήσονται. . . Ὥσπερ ὀφθαλμιῶντα οὐκ ὠνήσει ἡ ἐν σταθερᾷ μεσημβρίᾳ καὶ σφοδροτάτῃ φυκτωρίᾳ ἀκατάληπτος καὶ ἐπιτεταμένη τοῦ ἡλίου θέα, οὕτως οὐδὲ τὸν ἐμπαθῆ καὶ ἀκάθαρτον νοῦν ἡ τῆς ἐν πνεύματι καὶ ἀληθείᾳ φοβερᾶς καὶ ὑπερφυσικῆς προσευχῆς ἀνατύπωσις παντελῶς ὠνήσειεν, ἀλλὰ καὶ τοὐναντίον πρὸς ἀγανάκτησιν καθ᾽ ἑαυτοῦ ἐγείρει τὸ θεῖον . . . Προσευχῆς ἔπαινος οὐχ ἁπλῶς ἡ ποσότης, ἀλλ᾽ ἡ ποιότης, καὶ τοῦτο δηλοῦσιν οἱ ἀναβάντες εἰς τὸ ἱερόν, καὶ τό: ὑμεῖς προσευχόμενοι, μὴ βαττολογήσητε, καὶ τὰ ἑξῆς (Ματθ. ς΄ 7). [1].

Ἐν τῷ ἀσκητικῷ λόγῳ ἀποδεικνύουσιν ὁ Ὅσιος ἐκ παραδειγμάτων τῆς Παλαιᾶς Διαθήκης, ὅτι ἐν παντὶ καιρῷ ὑπῆρξαν ἄνθρωποι, οἵ, ἀποφεύγοντες τὸν κόσμον, ἐφίεντο τῆς πνευματικῆς τελειότητος. Ἀλλ᾽ ὁ πνευματικὸς ἀγών ἐστιν ἡ ὑψίστη τῶν τεχνῶν. Ὁ Ἰησοῦς Χριστὸς ἔδειξεν ἡμῖν τὴν ὁδόν, ἣν ἠγνόουν οἱ ἀρχαῖοι φιλόσοφοι. Οἱ ἀρχαῖοι χριστιανοί, λέγει, ἐζήτουν περιπαθῶς ἐν ἅπασι τὸν Κύριον αὐτῶν. Ἀρξαμένου βαθμηδὸν ἀποψύγεσθαι τοῦ ζήλου τούτου, ἔνιοι τῶν χριστιανῶν ἤρξαντο καταλείπειν τὸν κόσμον καὶ ἀρνεῖσθαι ἁπάσας αὐτοῦ τὰς εὐχαριστήσεις. Δυστυχῶς καὶ τὸ ὑψηλὸν τοῦτο τῆς μοναδικῆς πολιτείας ἀξίωμα ἤρξατο κατόπιν ἀποβάλλον τὴν ἑαυτοῦ ἀξίαν ἕνεκα τῆς ἀνθρωπίνης ἀσθενείας. Ἐπὶ δὲ τούτοις ὁ ζηλωτὴς τῆς πνευματικῆς τελειότητος πικρῶς κατακρίνει τὰς ἀταξίας, ἃς εἶδεν ἐν τοῖς μοναστηρίοις. Ἔπειτα περιγράφει τὰς ἰδιότητας, ἃς ὀφείλει ἔχειν ὁ Ἡγούμενος (§. 21-41). Ἀποτεινόμενος πρὸς τοὺς μοναχοὺς προτρέπει αὐτοὺς ἔχειν ὑπομονὴν καὶ ἀγωνίζεσθαι πρὸς τὰ πάθη, κατ᾽ ἐξοχὴν πρὸς τὴν λαιμαργίαν, τὴν ἡδονὴν καὶ τὴν ὀργήν—παραινεῖ ἐφίεσθαι τῆς τελειότητος μέχρι τοῦ τάφου (§. 42-75) [2].

Ὁ λόγος περὶ ἀκτημοσύνης πρὸς τὴν σεμνοπρε-

[1] Τὸ σύγγραμμα τοῦτο ἀνέγνω καὶ ὁ Φώτιος, ἀνάγν. σά.

[2] Σλαβιστὶ ὑπάρχει ἐν τῇ Φιλοκαλίᾳ.

πεστάτην Μάγναν διάκονον Ἀγκύρας ἐστὶ συνέχεια τοῦ ἀσκητικοῦ. Ἐν τῷ πρώτῳ μέρει τοῦ λόγου πρὸς Ἀγάθιον μονάζοντα[6] πραγματεύεται περὶ τῶν καθηκόντων τῆς ψυχῆς πρὸς ἑαυτήν, ἐν τῷ δευτέρῳ περὶ τῶν πρὸς τοὺς ἄλλους, καὶ ἐν τῷ τρίτῳ περὶ τοῦ πνευματικοῦ ἀγῶνος.

Ἐν τῷ συγγράμματι: ὅτι διαφέρουσι τῶν ἐν πόλεσιν ᾠκισμένων οἱ ἐν ἐρήμοις ἡσυχάζοντες, κἂν πολλοῖς τῶν ἀπείρων τὸ ἐναντίον δοκῇ, δείκνυται, ὅτι ὁ τρόπος οὗτος τοῦ βίου ἐστὶ πολλῷ ὠφελιμώτερος τοῦ κοινοβιακοῦ, εἴπερ ὁ ἐν ἐρημίᾳ διατρίβων εὑρίσκεται ὑπὸ τὴν χειραγωγίαν πεπειραμένου γέροντος.

Ὁ λόγος πρὸς Εὐλόγιον μοναχὸν περιέχει ἐξαιρέτους παραινέσεις, αἳ οὐ μόνον τὸν μοναχικὸν βίον, ἀλλὰ καὶ τὸν χριστιανικὸν καθόλου καθιστᾶσι τέλειον. Πραγματεύεται δὲ περὶ τῆς ἀποχωρήσεως ἀπὸ τοῦ κόσμου (κεφ. 2), περὶ καρτερίας, ταπεινοφροσύνης καὶ ἀνοχῆς (κεφ. 3-5), περὶ τῆς ἐπιμελείας τῆς τε ἐξωτερικῆς καὶ τῆς ἐσωτερικῆς εἰρήνης (κεφ. 5-6), καὶ περὶ τῆς διακρίσεως τῶν πνευ-

[6] Τὸ σύγγραμμα τοῦτο ἐπιγράφεται Περιστερία, διότι ὁ Ἀγάθιος ἐπήνεσε πάνυ σεβαστὴν γυναῖκα οὕτω ὀνομαζομένην. Κατὰ πολλούς, αὕτη ἐστὶν ἡ Ἀλεξανδρὶς Περιστερία, περὶ ἧς ἐποιήσατο λόγον ὁ διάκονος τῆς Ἀλεξανδρείας Ἰσχυρίων ἐν τῇ πρὸς Λέοντα τὸν Πάπαν ἐπιστολῇ αὐτοῦ, ἀναγνωσθείσῃ ἐν τῇ Συνόδῳ τῆς Χαλκηδόνος (Πρ. Γ' Mansi T. VI. col. 1013). Ἰδοὺ οἱ λόγοι τοῦ Ἰσχυρίωνος: «Τὸ γὰρ καὶ τῆς τῆς λαμπρᾶς μνείας Περιστερίας πρᾶγμα οὐδεὶς ἠγνόησε, καὶ μάλιστα τῶν ἐνοικούντων ταύτην τὴν βασιλίδα νέαν Ῥώμην, ἐκείνης ὑπὲρ τῆς ἑαυτῆς ψυχῆς ἐν τῷ διατίθεσθαι παρακελευσαμένης πλείστην ποσότητα χρυσίου παρασχεθῆναι τοῖς μοναστηρίοις, οὐ μὴν ἀλλὰ καὶ τοῖς ξενεῶσι καὶ πτωχείοις, καὶ ἑτέροις πένησι τῆς αἰγυπτιακῆς χώρας, ἀχθεσθεὶς ὁ εὐλαβέστατος ἀνὴρ (Διόσκορος) Ἀλεξανδρεὺς ἐπίσκοπος ἢ Πατριάρχης, ἐφ' οἷς οὐκ εἰς πρόσωπον αὐτῷ κατείληφε, παρασκευάζει ἐκεῖνα τὰ χρήματα αὐτῷ παρασχεθῆναι, καὶ ἀντὶ ἐλεημοσύνης θυμέλαις καὶ θεατρικοῖς ἑτέροις προσώποις, ὥστε μηδὲν τὴν εὐωδίαν τὴν ἀπὸ τῆς θυσίας τῆς λαμπρᾶς τὴν μνήμην Περιστερίας ἀνενεχθῆναι πρὸς τὸν Θεόν, τὸ ὅσον ἐπ' αὐτῷ, ἀλλὰ φανερὰ ἡ πρόθεσις ἐκείνης ἀπεδείχθη». Σ. Μ.

μάτων (κεφ. 6-7). Ἐπὶ δὲ τούτοις διδάσκει τί ποιητέον ἐν τῇ ἀνίᾳ καὶ ἐν ταῖς θλίψεσι (κεφ. 7-8). δηλοῖ τὰς πανουργίας καὶ τοὺς δόλους τοῦ διαβόλου ἐν τῷ πνευματικῷ βίῳ, καὶ διδάσκει τίνι τρόπῳ δεῖ καταπολεμεῖν τὰ πάθη, ἐπιμένειν τῇ προσευχῇ, ἐπιτελεῖν τὰ ἐργόχειρα, ἀδιαλείπτῳ σπουδῇ ἀσκεῖν τὰς ἀρετάς, τὴν πρᾳότητα, τὴν πτωχείαν, τὴν ἐγκράτειαν, τὴν φιλοξενίαν, τὴν ὑπακοήν, καὶ τέλος σπουδὴν ποιεῖσθαι περὶ τὴν ἀλήθειαν καὶ τὴν ἀγάπην (κεφ. 8-34).

Τὸ Ἐγχειρίδιον τοῦ Ἐπικτήτου ἐστὶ σπουδαῖον κατὰ τοῦτο, ὅτι δείκνυσιν ὅσον ὁ ὅσιος Νεῖλος πόρρω ἦν τοῦ ἀπορρίπτειν τὰ βοηθήματα τῆς θύραθεν σοφίας. Ἔχων ἐν χερσὶν ὁ θεῖος Πατὴρ τὴν ὑπὸ τοῦ Ἀρριανοῦ γενομένην ἐπιτομὴν τῶν δοξασιῶν τοῦ Ἐπικτήτου, ἐποιήσατο μεταβολάς τινας ἐν τῷ πονήματι τοῦ ἐθνικοῦ, ἀντικατέστησε χωρία τινὰ διὰ χριστιανικῶν δοξασιῶν, καὶ οὕτω συνετάχθη βιβλιάριον πρακτικῆς σοφίας (1).

Αἱ πλεῖσται τῶν ἐπιστολῶν τοῦ ὁσίου Νείλου εἰσὶν ἠθικαί. Κατ᾽ ἐξοχὴν δὲ πλείστου ἄξιαί εἰσι:

α´] Ἡ Ὀλυμπίῳ ἐπισκόπῳ, ἐν ᾗ διηγεῖται ὁ Ὅσιος, ὅτι

---

(1) Ὁ Δουπῖνος (Nouvel. Biblioth. VIII. 64) εἰς μάτην λέγει, ὅτι ὁ Σουαρέσιος ἄνευ λόγου ἐκάλεσε τὸ πόνημα τοῦ Ἀρριανοῦ πόνημα τοῦ ὁσίου Νείλου. Ὁ Σουαρέσιος εἶδε το σύγγραμμα τοῦτο ἐν τοῖς ἀρχαιοτάτοις τῶν ἀπογράφων φέρον τὸ ὄνομα τοῦ ὁσίου Νείλου. Καὶ τὸ περιεχόμενον καταδείκνυσι τὸ ὀρθὸν τῆς γνώμης αὐτοῦ. Αἱ πλάναι καὶ ὁ τρόπο τῶν ἐκφράσεων τοῦ ἐθνικοῦ οὐκ ἀπαντῶσιν ἐν τῷ συγγράμματι τούτῳ δυναμένῳ εἶναι ὠφέλιμον καὶ τοῖς μοναχοῖς. [Ὁ σοφὸς Ceillier λέγε περὶ τοῦ συγγράμματος τούτου τάδε: «on trouve encore moins le style de Saint Nil dans de Manuel qui porte son nom, et on ne peut disconvenir que ce ne soit celui d' Epistète, philosophe païen, où un chrétien a retranché tout ce qui sentait le paganisme, savoir les noms des dieux, du destin et de la fortune. et changé quelque chose dans les maximes de ce philosophe pour les accommoder aux moeurs et aux usages des Chrétiens. C' est ne pas faire honneur à Saint Nil, qui avait du savoir et de l' éloquence, de mettre sous son nom un ouvrage qui n' est qu' une compilation de celui d' un philosophe paien ». T. VIII. p. 211. nouv. edit. Σ. Μ.].

Κάρπος τις ἐπίσκοπος, τοῖς Ἀποστόλοις σύγχρονος, ἐδιδάχθη ἐν ὀπτασίᾳ ὑπὸ τοῦ Σωτῆρος μὴ εἶναι πάνυ αὐστηρὸν πρὸς τοὺς ἁμαρτάνοντας [1].

β′] Ἡ Ὀλυμπιοδώρῳ ἐπάρχῳ [2], ἐν ᾗ μέμφεται τῷ Ἐπάρχῳ, ἐπιτρέψαντι ζωγραφῆσαι ἐπὶ τῶν τοίχων τοῦ ὑπ' αὐτοῦ οἰκοδομηθέντος ναοῦ θηρία· συμβουλεύει δ' αὐτῷ πληρῶσαι τὸν ναὸν τὸν ἅγιον ἱστοριῶν τῆς τε Παλαιᾶς καὶ τῆς Καινῆς Διαθήκης. Ἡ ἐπιστολὴ αὕτη ἀνεγνώσθη ἐν τῇ Ζ′ Οἰκουμ. Συνόδῳ [3].

γ′] Ἡ Ἡλιοδώρῳ Σιλεντιαρίῳ [4], ἀναγνωσθεῖσα ἐν τῇ αὐτῇ Οἰκουμενικῇ Συνόδῳ [5], πραγματεύεται περὶ τοῦ εἰ δεῖ νέον μοναχὸν ὁμιλεῖν μοναχαῖς [γ].

δ′] Ἡ πολύτιμος καὶ μακρὰ ἐπιστολὴ Δομνίνῳ νεωτέρῳ πρωτεύοντι πραγματεύεται περὶ τῶν τῆς σαρκὸς ἐπαναστάσεων. Ὁ πολύπειρος ἀσκητὴς λέγει, α′] ὅτι τὸ παντελῶς ἀναισθήτως ἔχειν πρὸς τὸ πάθος δόσις Θεοῦ ὑπάρχει· β′] δείξας τὰς ἐνεργείας τοῦ πάθους καὶ τοὺς ἐξ αὐτοῦ κινδύνους, δίδωσι παραινέσεις περὶ τοῦ

---

(1) Βιβλ. Β′ ἐπ. 290. πρβλ βιβλ. Γ′ ἐπ. 243. Χαρικλεῖ πρεσβυτέρῳ. Περὶ μετανοίας Α′ ἐπ. 54, 220, 304. Β′ 82, 83, 143, 147, 163. 203, 229, 326, 330. Γ′ 59-61, 63, 129, 170, 204, 254-257. Δ′ 20, 21, 36, 43.

(2) Βιβλ. Δ′ ἐπ. 61.

(3) Πρ. Δ′.

(4) Βιβλ. Δ′ ἐπ. 62.

(5) Πρ. Δ′.

[γ] Περὶ τούτου πραγματεύεται οὐκ ἐν ταύτῃ τῇ ἐπιστολῇ ἀλλ' ἐν τῇ Ἡλιοδώρῳ μοναχῷ (Βιβλ. Β′ ἐπ. 46). Ἐν τῇ Ἡλιοδώρῳ Σιλεντιαρίῳ διηγεῖται ὁ θεῖος Πατήρ, ὅτι, βαρβάρων ἐθνικῶν εἰσβαλλόντων εἰς τὴν ἔρημον τοῦ Σινᾶ καὶ ἀπαγαγόντων αἰχμάλωτον νέον μοναχὸν ἐκ Γαλατίας, διατρίβοντα ἐν τῇ ἐρήμῳ μετὰ τοῦ πατρὸς αὐτοῦ, ἐπεφάνη αὐτῷ ὁ ἅγιος μάρτυς Πλάτων ἀναβαίνων ἐφ' ἵππου, καὶ κρατῶν ἕτερον, εἰς ὃν εἶπεν αὐτῷ ἀναβῆναι· ὅτι παραχρῆμα ἀπερράγησαν τὰ δεσμὰ αὐτοῦ, ἀνέβη εἰς τὸν ἵππον, καὶ ἀφίκετο κατὰ τὴν αὐτὴν στιγμὴν πρὸς τὸν πατέρα αὐτοῦ, συνοδευόμενος ὑπὸ τοῦ ἁγίου μάρτυρος, ἀφάντου παραυτίκα γενομένου. Ἀνεγνώσθη δ' ἡ ἐπιστολὴ αὕτη ἐν τῇ Ζ′ Οἰκουμ. Συνόδῳ, διότι λέγεται ἐν αὐτῇ, ὅτι ὁ ὑπὸ τῶν βαρβάρων αἰχμαλωτισθεὶς νέος μοναχὸς ἀνεγνώρισε τὸν ἅγιον Πλάτωνα, ἅτε δὴ πολλάκις ἰδὼν τὴν εἰκόνα αὐτοῦ. Σ. Μ.

πῶς δεῖ ἀγωνίζεσθαι πρὸς αὐτό, περὶ τί καὶ πῶς δεῖ ἀποφεύγειν, περὶ τοῦ τί καὶ πῶς δεῖ πράττειν πρὸς τὸ καταστέλλειν αὐτό (1).

ε´] Ἐν τῇ Ἀθανασίῳ Ἐκδίκῳ ἔγραψεν ὁ Ὅσιος: «Ὅμοιος ὑπάρχεις τῷ λέγοντι, ὅτι ἤθελον ἰδεῖν ὄμβρους μεθύσκοντας τὴν γῆν ἅπασαν, ριγῆσαι δὲ οὐ θέλω. Καὶ πῶς ἐγχωρεῖ δίχρα ψυχρίας ἀπολαῦσαι τῶν ὄμβρων; Πῶς οὖν φάσκεις ὀρέγεσθαι καὶ εὔχεσθαι πνευματικῆς τινος ἀξιωθῆναι χάριτος ἄνευ πόνου καὶ θλίψεως; Δεῖ γὰρ πάντα τὸν βουλόμενον, εἴτε λαϊκόν, εἴτε μοναχόν, οὐρανίου τινὸς ἐπιτυχεῖν δωρεᾶς, ὑπομεῖναι θλίψεις πολλάς, καὶ πειρασμοὺς καὶ λύπας, ἅπερ πάντα ἐπέχει λόγον χειμῶνος σφοδροῦ, εἶθ᾿ οὕτως ἀμήσασθαι τοὺς καρποὺς τοῦ ἁγίου Πνεύματος» (2).

Ἐκ τῶν παρατεθέντων χωρίων ῥᾴδιον ἰδεῖν, ὅτι τὰ συγγράμματα τοῦ θείου Πατρὸς διαπρέπουσι πρὸς τῇ ὑψηλῇ τοῦ περιεχομένου ἀξίᾳ ἐπὶ σαφηνείᾳ, καλλιεπείᾳ καὶ ὀρθοεπείᾳ, ἀποπνέουσιν εἰλικρίνειαν αἰσθήματος, καί εἰσι πλήρη ὑψηλῶν καὶ ἀείποτε λαμπρῶν ἐννοιῶν [δ].

§. 210. Ἰσαὰκ ἀρχιεπίσκοπος Ἀρμενίας.

Ὁ Ἰσαάκ, δέκατος ἀρχιεπίσκοπος τῆς Ἀρμενίας μετὰ τὸν Φωτιστὴν αὐτῆς ἅγιον Γρηγόριον, ἐγεννήθη ἐν Κωνσταντινουπόλει, τοῦ πατρὸς αὐτοῦ, Νερσῆ τοῦ Μεγάλου, ὄντος πρεσβευτοῦ τοῦ βασιλέως

(1) Βιβλ. Γ´ ἐπ. 43. Βλ. καὶ βιβλ. Α´ ἐπ. 222, 318, 325. Β´ ἐπ. 58, 69, 142, 159, 234, 284. Γ´ ἐπ. 78, 130, 131, 151, 165, 166, 224, 225. Δ´ ἐπ. 6, 24, 26. Περὶ τῶν πειρασμῶν τῆς ἀπιστίας βιβλ. Γ´ ἐπ. 260 τῆς βλασφημίας Α´ ἐπ. 313. Β´ ἐπ. 91, 92, 152. Γ´ ἐπ. 99.

(2) Βιβλ. Α´ ἐπ. 317.

[δ] Ὁ σοφὸς Fessler ἀποφαίνεται περὶ τοῦ θείου Πατρὸς ὧδε: Variæ ejus lucubrationes thesaurum doctrinæ asceticæ comprehendunt; animi humani diversos motus intimosque recessus, malignas diaboli artes, benignam Dei misericordiam, multiplicem hominis pugnam, lapsum, victoriam tam accurata cognitione, tenera sollicitudine, sincera caritate describit, ut nemo melius. Scripta ejus, vigore plena ac sententiis referta, similitudinibus elegantissimis nitent; et quamvis nervosa quadam vehementia excellunt, dulcore tamen eximiæ caritatis omnia temperantur» (inst. Patrolog. T. II. p. 611-612). Σ. Μ.

αὐτοῦ ἐν τῇ πρωτευούσῃ ταύτῃ. Τῷ 390 ἀνέβη ἐπὶ τὸν ἀρχιεπισκοπικὸν θρόνον, καὶ ἐπὶ πεντήκοντα ὅλα ἔτη ἔφερε τοῦτο τὸ ἀξίωμα ([1]). Μέχρι τοῦ 415 ἴθυνεν ἡσύχως τὴν ἑαυτοῦ Ἐκκλησίαν· ἀλλὰ κατὰ τοῦτο τὸ ἔτος Ἰσδιγέρδης, ὁ τῶν Περσῶν βασιλεύς, ὥρισεν ἡγεμόνα τῆς Ἀρμενίας τὸν υἱὸν αὐτοῦ, ὃς ἐκ ζήλου πρὸς τὴν διδασκαλίαν τοῦ Ζωροάστρου κατεδίωκεν ἀπηνέστατα τοὺς ὀπαδοὺς τῆς εἰς Χριστὸν πίστεως. Τοῦτο διήρκεσεν ἐπὶ τέσσαρα ἔτη. Ὁ Βαχράμ (Bahram) ἀνεβίβασε (τῷ 422) ἐπὶ τὸν θρόνον τῆς Ἀρμενίας ἀπόγονον τῶν βασιλέων ταύτης τῆς χώρας· ἀλλὰ μετὰ ἓξ ἔτη οἱ μεγιστᾶνες ὑπὸ ταπεινῶν παθῶν ἐλαυνόμενοι, διέβαλον αὐτόν, καί περ ἀντενεργοῦντος τοῦ Ἰσαάκ, πρὸς τὸν Βαχράμ. Ἐπιλαβόμενος ταύτης τῆς εὐκαιρίας ὁ βασιλεὺς τῆς Περσίας, κατέστρεψεν τὴν αὐτονομίαν τοῦ ἀρμενικοῦ βασιλείου τῷ 428. Τούτου δὲ γενομένου, κατεβίβασε τοῦ θρόνου καὶ τὸν ἅγιον Ἰσαάκ ([2]). ἀλλὰ καὶ μετὰ τοῦτο οὐκ ἐπαύετο μεριμνῶν παντὶ σθένει ὑπὲρ τῆς Ἀρμενικῆς Ἐκκλησίας. «Κύριλλος ὁ Ἀλεξανδρείας καὶ Πρόκλος ὁ Κυζίκου, λέγει ὁ Π. Φώτιος, ἀνήγγειλαν δι' ἐπιστολῶν τῷ ἁγίῳ Ἰσαὰκ τὴν αἰτίαν τῆς ἐν Ἐφέσῳ συγκροτηθείσης Συνόδου· ὁ δ' ἅγιος Ἰσαὰκ παρεδέξατο τὸ κῦρος τῆς Συνόδου, καὶ ἀνεθεμάτισε τὸν Νεστόριον» ([3]). Σφαλέντες οἱ Ἀρμένιοι τῶν ἑαυτῶν ἐλπίδων ἐπὶ τοὺς ὑπὸ τοῦ βασιλέως τῆς Περσίας διορισθέντας τρεῖς διαδόχους τοῦ Ἰσαάκ, ἱκέτευσαν τέλος αὐτὸν ἀναλαβεῖν αὖθις (τῷ 439) τὴν κυβέρνησιν τῆς Ἐκκλησίας ([4]), ἀλλ' αὐτὸς διηγήσατο αὐτοῖς τὴν ὀπτασίαν, ἣν ἑώρακε περὶ τῆς ἐκπτώσεως αὐτῶν ἀπὸ τῆς ἀληθοῦς πίστεως τῆς γενομένης καὶ τῆς ἐσομένης· δέδωκε δὲ

([1]) Δημήτριος ὁ Κυζίκου λέγει ἐν τῷ περὶ αἱρέσεων τῶν Ἰακωβιτῶν καὶ τῶν Κατζιτζαρίων συγγράμματι αὐτοῦ, ὅτι ὁ Ἰσαὰκ ἐποίμανε τὴν Ἐκκλησίαν τῆς Ἀρμενίας ἐπὶ τεσσαράκοντα ἔτη, κατὰ δὲ τὸν Γόριον, Μωϋσῆ τὸν ἐκ Χωρηνῆς καὶ ἄλλους ἐπὶ πεντήκοντα. Neumann Gesch. d. Arm. Litter. σ. 29-43.

([2]) Βλ. τὴν ἐν Πετρουπόλει τῷ 1843 ἐκδοθεῖσαν ἱστορ. τῆς ἀρμενογρηγορ. Ἐκκλησίας.

([3]) Ἐπ. πρὸς Ζαχαρίαν Πατριάρ. τῶν Ἀρμενίων παρὰ Μαΐῳ Spicil. Roman. T. X. p 449-459. [Τῆς ἐπιστολῆς ταύτης σώζεται μόνον ἡ λατινικὴ μετάφρασις. Σ. Μ.]

([4]) Δημ. ὁ Κυζίκου αὐτόθ. Neumann Gesch. d. Arm. Litter. 29.

αὐτοῖς ἀνθ᾽ ἑαυτοῦ τὸν μακάριον Μαστήντζην (Μεσρωβ) τὸ ἐπώνυμον Μαστόσιον φύλακα τοῦ θρόνου αὐτοῦ(1), καὶ ἐτελεύτησε τῷ 440 ἔτει(2).

Ὁ μακάριος Ἰσαὰκ ἐγένετο διαπρεπέστατος ἐπὶ ταῖς ἐξόχοις ὑπηρεσίαις, ἃς προσήνεγκε τῇ ἀρμενικῇ Ἐκκλησίᾳ. Δικαίως δὲ δύναται κληθῆναι δεύτερος φωτιστὴς τῆς Ἀρμενίας. Τὸ πρώτιστον τῶν μελημάτων αὐτοῦ ἦν ἡ εἰς τὴν μητρικὴν γλῶσσαν μετάφρασις τῆς ἁγίας Γραφῆς. Τοῦτο δ᾽ ἦν ἀρχὴ καὶ πηγὴ τῆς ἐκπαιδεύσεως τῆς πατρίδος αὐτοῦ. Ἀνώνυμός τις βιογράφος τοῦ θείου Χρυσοστόμου λέγει, ὅτι, ὅτε ὁ μέγας Πατὴρ διέτριβεν ἐν Κουκουσῷ, προέτρεπε τοὺς Ἀρμενίους μεθερμηνεῦσαι τὰ θεῖα βιβλία εἰς τὴν γλῶσσαν αὐτῶν. «Διακελεύεσθαι (τὸν Χρυσόστομον) τό τε ψαλτήριον καὶ τὴν ἅπασαν Διαθήκην πρὸς τὴν ἐκείνων γλῶσσαν μεταποιήσασθαι»(3).

Ἀπέκειτο δ᾽ ἄρξασθαι ἀπὸ τῆς ἐξευρέσεως ἐθνικοῦ Ἀλφαβήτου, διότι τὸ τοῦ Ἑβρώφ, ᾧπερ ἐκ παλαιτάτου ἐχρῶντο οἱ Ἀρμένιοι, κατέστη ἄχρηστον, πρὸς δὲ συνίστατο μόνον ἐκ συμφώνων. Τὰ δ᾽ ἑλληνικὰ καὶ συριακὰ γράμματα, τὰ μετὰ τοῦ χριστιανισμοῦ εἰσαχθέντα, οὐκ ἐξέφραζον ἅπαντας τοὺς φθόγγους τῆς ἀρμενικῆς γλώσσης [α]. Ἐπὶ δὲ τούτοις πᾶν ἑλληνικόν, καὶ ἰδίως τὰ ἑλληνικὰ βι-

(1) Δημ. ὁ Κυζ. αὐτόθ.

(2) Ἡ ἀρμεν. Ἐκκλησία συγκριθμεῖ αὐτὸν τοῖς ἁγίοις. Ὁ κατὰ τὸν ζ´ αἰῶνα ἀκμάσας Δημήτριος ὁ Κυζίκου ἐκαλεῖ ἐπίσης αὐτὸν ἅγιον. Ὁ Π. Φώτιος γράφει: «Τῷ ιε´ ἔτει μετὰ τὴν ἐκ τῆς παρούσης ζωῆς πρὸς τὸν Χριστὸν Ἰησοῦν ἐκδημίαν τοῦ ἁγίου Ἰσαὰκ συνεκροτήθη ἡ ἐν Χαλκηδόνι Σύνοδος». Ἐπ. πρὸς Ζαχ. Π τῶν Ἀρμεν. in Spicil. Rom. Romæ, T. X. p. 449 459.

(3) Ανωνύμ. Βίος Ἰωάννου τοῦ Χρυσοστόμου, κεφ. 113. Hug. Einleit in N. T. I. 400.

[α] «Ἀλλ᾽ ἐξ ἐκείνου τοῦ χρόνου (τοῦ 300 μ. χ.), λέγει ὁ ἀοίδιμος Οἰκονόμος, μέχρι τοῦ 430, οὐδεμία φαίνεται παρ᾽ οὐδενὶ μνημονευομένη Ἀρμενικὴ τῆς Γραφῆς ἑρμηνεία. Πᾶν δὲ τοὐναντίον παρ᾽ αὐτοῖς ἱστόρηται τοῖς Ἀρμενίοις, ὅτι ἀνεγίνωσκον τὰς Γραφὰς ἐκ τῆς συριακῆς τῶν Ο´ ἑρμηνείας· ἴσως δὲ καὶ αὐτὸ τὸ πρωτότυπον οὐκ ἦν παντάπασιν ἀξύνετον παρά γε τοῖς πεπαιδευμένοις τῶν Ἀρμενίων . . . ἀλλ᾽ οὐδ᾽ ἀλφάβητον εἶχον τῆς ἀρμενικῆς γλώσσης ἴδιον· ἀριθμόν δέ τινα γραμμάτων σύνθετον ἐξ ἑλληνικῶν καὶ περσικῶν στοιχείων». (Περὶ τῶν Ο´ ἑρμην. σ. 845-46). Σ. Μ.

ϐλία, λίαν αὐστηρῶς κατεδίωκεν ἡ περσικὴ ἐξουσία [ϐ]. Ὁ Μεσρώϐ, συμμαθητὴς τοῦ ἁγίου Ἰσαὰκ παρὰ τῷ μεγάλῳ Νερσῇ, πάνυ ἐπόνησε περὶ τὴν ἐξεύρεσιν πλήρους ἀρμενικοῦ ἀλφαβήτου. Τέλος οἱ κοινοὶ πόνοι τοῦ Μεσρὼϐ καὶ τοῦ Ἰσαὰκ ἐπέτυχον καθ᾽ ὁλοκληρίαν περὶ τὸ 406ον ἔτος [*].

Μετὰ ταῦτα ἐπεχείρησαν τῇ μεταφράσει τῆς ἁγίας Γραφῆς. Ὁ μαθητὴς τοῦ Μεσρὼϐ Γόριος γράφει: Ἀμφότεροι οἱ ἄνδρες (ὁ Ἰσαὰκ καὶ ὁ Μεσρὼϐ) ἐσπούδαζον οὐ μόνον φωτίσαι τὸν λαὸν αὐτῶν διὰ τῶν ἐπιστημῶν, ἀλλὰ καὶ ἐκπαιδεῦσαι ἀνθρώπους εὐφυΐᾳ πεπροικισμένους. Αὐτὸς ὁ Πατριάρχης Ἰσαὰκ ἠσχολεῖτο περὶ μεταφράσεις καὶ περὶ τὴν συγγραφὴν ἰδίων πονημάτων... Ἀναγκαῖον ἡγήσαντο ἀμφότεροι πέμψαι τοὺς μαθητὰς αὐτῶν Ἰωσὴφ καὶ Ἰωάννην τὸν ἐξ Ἐζνὰκ εἰς Μεσοποταμίαν τῶν ἐπιστημῶν χάριν [γ]. Μετά τινα χρόνον ἄλ-

[ϐ] Αἱ ἐν Ἀρμενίᾳ περσικαὶ ἀρχαὶ ἐκώλυον, δεινῶν τιμωριῶν ἐπικειμένων, τὴν χρῆσιν πάσης φιλολογίας ἐκτὸς τῆς συριακῆς. Ὁ σατράπης Μαρουζὰ κατέκαυσεν ἅπαντα τὰ ἑλληνικὰ βιβλία, ἅτινα οἱ πράκτορες αὐτοῦ ἠδυνήθησαν εὑρεῖν (Moses Chor. I. c. III. c. LIV). Σ. Μ.

[*] Neumann Gesch. d. Armen Litterat. S 29-82 Ritter. Erdkunde, West. As. X. Th. 545.

[γ] Οἱ ἄνδρες οὗτοι ἐπέμφθησαν εἰς Μεσοποταμίαν, ὅπως μεταφράσωσιν εἰς τὴν ἀρμενικὴν γλῶσσαν τὰ συγγράμματα τῶν Πατέρων, ἅτινα ἠδύναντο εὑρεῖν ἐκεῖ. Ἀμφότεροι μετέβησαν εἰς Κωνσταντινούπολιν, ἔνθα ἐξέμαθον τὴν ἑλληνικὴν γλῶσσαν, καὶ πολλὴν ἐποιήσαντο σπουδήν, ὥστε μεταφράσαι ἀρμενιστὶ ἕλληνας συγγραφεῖς. Ὁ ζῆλος οὗτος ἐπόρισεν ἐν ὀλίγῳ χρόνῳ τῇ Ἀρμενίᾳ χριστιανικὴν φιλολογίαν. Ὁ Αὐχερος λέγει ἐν τῷ προλόγῳ τῆς ἀρμεν. ἐκδώσεως τοῦ χρονικοῦ τοῦ Εὐσεβίου: «Cum enim a Chr 406. S Mastosius, sive Mesrobes, singulari Dei beneficio Armeniaci Alphabeti elementa repesisset suaeque genti tradidisset, mirum profecto dictu est, qui cura atque aemulatione universi fere Armeniæ eruditi, una cum universorum magistro Isaaco patriarcha, in antiquorum Scriptorum libros vertendos incubuerint, ita ut, initio ducto a versione SS. Litterarum, quæ e Graeca LXX interpretum translatione deduxore, ultra sexcenta Scriptorum veterum volumina ante annum 450, h. e. 44 annorum spatio, in Haicanam linguam translata sint». Σ. Μ.

λοι ἱερεῖς ἀνεχώρησαν ἐξ Ἀρμενίας εἰς Ἑλλάδα, καθάπερ καὶ ὁ Γόριος (αὐτὸς ὁ γράφων ταῦτα) (¹). Ἐξ ἄλλων μνημείων γίγνεται δῆλον, ὅτι μετὰ τὴν ἐπάνοδον τῶν δύο μαθητῶν (τῷ 410) ὁ Ἰσαὰκ ἠσχολεῖτο περὶ τὴν μετάφρασιν τῆς ἁγίας Γραφῆς, ἐν ᾧ ὁ Μεσρὼβ ἵδρυε σχολεῖα. Τῷ 431 ὁ Ἰωσὴφ καὶ ὁ Ἰωάννης ἔλαβον ἀντίγραφον ἑλληνικὸν τῶν Ο΄ παρὰ τῆς ἐν Ἐφέσῳ Γ΄ Οἰκουμενικῆς Συνόδου μετὰ τῶν αὐτῆς πρακτικῶν. Τότε ὁ Ἰσαὰκ καὶ ὁ Μεσρὼβ ἐπεχείρησαν νέα μεταφράσει τῶν κανονικῶν τῆς ἁγίας Γραφῆς βιβλίων. Ἀλλ' ἵνα μὴ ἐκ τῆς ἀτελοῦς γνώσεως τῆς ἑλληνικῆς γλώσσης παρεισφρήσωσιν εἰς τὴν μετάφρασιν σφάλματα, οἱ δύο μαθηταὶ ἀπῆλθον εἰς Ἀλεξάνδρειαν παιδευθησόμενοι ἀκριβέστατα τὴν γλῶσσαν ταύτην. Ὑπ' αὐτῶν ἐκομίσθησαν ἔτι ἀπόγραφα ἑλληνικὰ τῆς ἁγίας Γραφῆς. Τότε ἐπεθεωρήθη ἐκ νέου καὶ ἀκριβῶς ἐξετελέσθη ἡ ἑρμηνεία τῆς Παλαιᾶς Διαθήκης (²). Εἶχον δ' ὑπ' ὄψει καὶ τὴν συριακὴν μετάφρασιν (³). Τοῦτο ἦν κατ' ἐξοχὴν ὁ πόνος τοῦ ἁγίου Ἰσαάκ· τοῦ δὲ Μεσρὼβ ἡ τῆς Καινῆς Διαθήκης μετάφρασις.

Τοιούτῳ τρόπῳ ἐφάνη ἐν τῇ ἀρμενικῇ Ἐκκλησίᾳ ἡ μετάφρασις τῆς ἁγίας Γραφῆς ἐν γλώσσῃ ἅπασι καταληπτῇ καὶ δὴ καὶ ἐν καθαρωτάτῃ λέξει, ἢ ὀρθότερον εἰπεῖν, ἀνεφύγη ἅπαντι τῷ λαῷ πηγὴ ἐκπαιδεύσεως. Ἡ μετάφρασις αὕτη ἐστὶ πλείστου ἀξία, διότι πρὸς τοῖς ἄλλοις δυνατὸν ἰδεῖν ἐν αὐτῇ, οἷον ἦν τὸ ἀρχαῖον ἑλληνικὸν κείμενον, καὶ διακρῖναι τὰς ἐν τοῖς μετὰ ταῦτα ἀπογράφοις παραλλαγάς. Προσθετέον δέ, ὅτι ἐν τῇ μεταφράσει ταύτῃ εἶχον ὑπ' ὄψει ἐκτὸς τῆς συριακῆς καὶ ἀπόγραφα τοῦ ἑλληνικοῦ κειμένου κομισθέντα ἐκ τῆς Μικρᾶς Ἀσίας καὶ τῆς Ἀλεξανδρείας. Ἐντεῦθεν δὲ οὐ δυνάμεθα ὑποθεῖναι, ὅτι ἡ μετάφρασις αὕτη ἐξετελέσθη μόνον κατὰ τὸ ἀντίγραφον, ὅπερ ἔλαβον παρὰ τῆς ἐν Ἐφέσῳ Συνόδου ὁ Ἰωσὴφ καὶ ὁ Ἰωάννης, ὡς τοῦτο ἀνομολογοῦσιν οἱ κριτικοί (⁴).

(¹) Vita S. Mesrobis.

(²) Περὶ τῆς μεταφράσεως ταύτης βλ. α΄] Mos Chor. Hist. Armen. lib. III. ed. Whistoni, Londini, 1736. β΄] Vit. S. Mesrob. Hug Einl. in T. I. p. 399-401. γ΄] Bar-Hebraeus ad. P. s. XV. ap. Wiseman. Horæ Syriacæ, p. 142. Romæ, 1827.

(³) Bar-Hebraeus ad. P. VIII. 15. ap Wiseman Hor. Syr p. 442.

(⁴) Walton, Polyglot. prolegom.

Ὁ μακάριος Ἰσαὰκ ἐμερίμνησε περὶ τῆς εἰς τὴν ἀρμενικὴν γλῶσσαν μεταφράσεως οὐ μόνον τῆς ἁγίας Γραφῆς, ἀλλὰ καὶ τῶν συγγραμμάτων τῶν Πατέρων. «Ἐκ τοῦ διδασκαλείου ἀμφοτέρων (τοῦ ἁγίου Ἰσαὰκ καὶ τοῦ Μεσρώβ), λέγει ὁ Γόριος, ἐξῆλθον ἄνδρες, οἳ καθ' ἅπαντας τοὺς κλάδους τῶν ἀνθρωπίνων γνώσεων ἐκλείσθησαν τὸ μὲν ὡς μεταφρασταί, τὸ δὲ ὡς πρωτοτυποι συγγραφεῖς» [1]. Αἱ μεταφράσεις τῶν συγγραμμάτων τῶν ἁγίων Ἰγνατίου, Χρυσοστόμου, Βασιλείου, Γρηγορίου τοῦ Θεολόγου, καὶ ἄλλων ἦσαν καρπὸς τῆς μερίμνης τοῦ Πατριάρχου [2].

Ἐν τοῖς συγγράμμασιν αὐτοῦ τὴν πρώτην θέσιν κατέχει τὸ περὶ ἐκκλησιαστικῆς εὐταξίας καὶ κλήρου. Ἐν αὐτῷ προὐτίθετο δοῦναι κρείττονα ὤθησιν καὶ ὄψιν τῇ ἐξωτερικῇ λατρείᾳ, θεῖναι κανόνας ὡς πρὸς τὴν ψαλμῳδίαν, καὶ διατάξαι τὰς ἑορτὰς κατὰ τὰ ἄριστα τῶν Μηνολογίων. Ἔνιοι τῶν ὕμνων αὐτοῦ εἰσιν ἐν χρήσει μέχρι τοῦ νῦν κατὰ τὰς ἱερουργίας τῆς ἀρμενικῆς Ἐκκλησίας. Μωϋσῆς ὁ ἐκ Χωρηνῆς, εἷς τῶν μαθητῶν αὐτοῦ, διέσωσε τὰς πρὸς τὸν Αὐτοκράτορα Θεοδόσιον τὸν Μικρόν, τὸν Ἀττικόν, καὶ τὸν Ἔπαρχον Ἀνατόλιον ἐπιστολὰς αὐτοῦ. Ἅπαντα τὰ συγγράμματα αὐτοῦ θεωροῦνται πρότυπα τῆς ἀρχαίας γλώσσης καὶ καθαρωτάτης λέξεως [3].

§. 211. Πρόκλος, Ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως.

Πρόκλος ὁ ἁγιώτατος, ἔτι νέος κομιδῆ περὶ τὸν ἀληθινὸν τοῦ νοῦ φωτισμὸν καὶ τὴν ἠθικὴν διάπλασιν τῆς καρδίας ἀσυνηθείς, [4], ἐγένετο παρὰ τῷ ἁγίῳ Ἰωάννῃ τῷ Χρυσοστόμῳ τῶν ἐκείνου λόγων

XIII. n 16. Hug. Einl. in N. T. §. 87. Τῷ ιγ' αἰῶνι ἐπεδιορθώθη κατὰ τὴν Βουλγάταν, καὶ πολλῷ πλείους ἐπιδιορθώσεις ἐποιήσατο ὁ πρῶτος αὐτῆς ἐκδότης Ὕσκανος: Vet et Nov. Test armen. Amsterdam 1666. Ἡ ἔκδοσις αὕτη μετετυπώθη ἐν Κωνσταντ]πόλει τῷ 1700. Νέα ἔκδοσις ἁπάσης τῆς ἁγ. Γραφῆς ἐγένετο κατὰ εἴκοσι περίπου ἀντίγραφα ἐπ ἴσης Ἐνετίῃσι τῷ 1805.

(1) Vit. S. Mesrob. Ritter Erdkunde X. Th. s. 561.

(2) Neumann Gesch. Arm Litterat s. 72 90 Ritter. s. 568.

(3) Neumann Gesch. d. Arm. Litter. s. 28-32.

(4) Σωκρ. ἐκκλ. ἱστορ. ζ' 41.

ζηλωτὸς ὑπογραφεύς ([1])· ἐπίσης δὲ καὶ παρὰ τῷ Ἀττικῷ, ὑφ᾽ οὗ καὶ διάκονος καὶ πρεσβύτερος προχειρισθείς, κατόπιν ὑπὸ Σισινίου ἐχειροτονήθη (τῷ 426) ἐπίσκοπος Κυζίκου. Ἐκλεξαμένων δὲ τῶν κατοίκων τῆς πόλεως ταύτης ἐπίσκοπον αὐτῶν τὸν Δαλμάτιον, ὁ πρᾶος καὶ ταπεινὸς τῇ καρδίᾳ οὐ μετέβη ἐκεῖσε, ἀλλὰ διέτριβεν ἐν Κωνσταντινουπόλει, ἔνθα κηρύσσων τὸν λόγον τοῦ Θεοῦ, ἐκτήσατο μεγίστην δόξαν. Μετὰ τὴν τελευτὴν τοῦ Σισινίου [α], πολλοὶ ᾔτουν, ἵνα καταλάβῃ τὴν θέσιν αὐτοῦ ὁ Πρόκλος, ἀλλὰ ταύτην ἐκληρώθη ὁ Νεστόριος ([2]). Ὅτε δ᾽ οὗτος ἤρξατο διασπείρειν δημοσίᾳ τὰς περὶ τῆς ἐνανθρωπήσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ ἀσεβεῖς αὐτοῦ δοξασίας, ὁ Πρόκλος κατεπολέμησεν αὐτὰς (τῷ 429) διὰ θαυμασιωτάτου λόγου ([3]). Μετὰ τὴν καθαίρεσιν τοῦ αἱρετικοῦ τούτου (τῷ 431) ὁ λαὸς ἐπόθει πάλιν ἰδεῖν τὸν Πρόκλον ἀρχιεπίσκοπον αὐτοῦ, ἀλλ᾽ ἀντ᾽ αὐτοῦ ἐξελέγη ὁ γέρων Μαξιμιανός. Τέλος, τελευτήσαντος τούτου, ἐκληρώθη τὴν τῆς Κωνσταντινουπόλεως προεδρίαν ([4]), καὶ παραυτὰ ἀπέστειλε Κυρίλλῳ τῷ Ἀλεξανδρείας, Ἰωάννῃ τῷ Ἀντιοχείας καὶ ἄλλοις ἐπισκόποις συνοδικὴν ἐπιστολήν, δι᾽ ἧς ἀνήγγελλεν αὐτοῖς τὴν ἐκλογὴν αὐτοῦ καὶ ᾔτει τὴν μετ᾽ αὐτῶν κοινωνίαν ([5]). Τῷ 436 συνεβουλεύσατο τῷ Πατριάρχῃ τῆς Κωνσταντινουπόλεως ὁ κλῆρος τῆς Ἀρμενίας περὶ τῶν συγγραμμάτων Θεοδώρου τοῦ Μοψουεστίας. Ὁ Πρόκλος, τῆς ὑποθέσεως ἀκριβῶς ἐν συνόδῳ ἐξετασθείσης, ἔστει-

([1]) Εὐφραίμ. Κατάλ. τῶν Πατρ. Κωνσταντινουπόλεως παρὰ Μαΐῳ Collect. Vet. Auct. T. III. p. 229. Ἐνταῦθα λέγεται ὁ ἅγιος Πρόκλος μύστης φιλητὸς τοῦ Πατρὸς Χρυσοστόμου (στίχ. 9714). Νικηφ. ὁ Καλλιστος ἐκκλ. ἱστορ. ιδ᾽ 38.

[α] Ο Σισίνιος ἐτελεύτησε τῇ κδ᾽ Δεκεμ. τοῦ 427 σωτηρίου ἔτ. Σ. Μ.

([2]) Σωκρ. ζ᾽ 26, 28.

([3]) Ο λόγος οὗτος ἐπιγράφεται: Ἐγκώμιον εἰς τὴν Παναγίαν Θεοτόκον Μαρίαν. Σωκρ. ζ᾽ 41, 42.

([4]) Σωκρ. ζ᾽ 26, 29, 35, 40. Synod. Cacin. c. 123.

([5]) Synod. Cacin. c. 150. [Τῆς συνοδικῆς ταύτης ἐπιστολῆς διεσώθη λατινιστὶ τεμάχιον, ὅπερ ἐξέδωκε πρῶτος ὁ Χριστιανὸς Λοῦπος inter epist. Ephesin. c. 150 καὶ μετ᾽ αὐτὸν Ἰωάννης ὁ Γαρνέριος in Auctar. Theodoreti. p. 653. Ἄλλη τις συνοδικὴ ἐπιστολὴ τοῦ ἁγίου Πρόκλου, ἧς γίγνεται μνεία ἐν τῇ πϛ᾽ ἐπιστολῇ τοῦ Θεοδωρήτου, φαίνεται γραφεῖσα κατόπιν. Σ. Μ.]

λε τοῖς ἐπισκόποις τῆς Ἀρμενίας τὸν περιφημότατον ἐκεῖνον τόμον, δι' οὗ παρέσχετο λαμπρὰν μαρτυρίαν τῆς ἀληθοῦς πίστεως. Τὸν αὐτὸν τόμον ἔστειλε συγχρόνως καὶ πρὸς τὸν Πατριάρχην τῆς Ἀντιοχείας Ἰωάννην, αἰτούμενος, ἵνα, ἐὰν εὕρῃ αὐτὸν ὀρθόδοξον, ἐπικυρώσῃ συνοδικῇ ἀποφάσει. Τοῦτο δὲ ὅ τε Ἰωάννης καὶ ἡ παρ' αὐτοῦ συναθροισθεῖσα σύνοδος ἀσμένως ἐξεπλήρωσαν (1). Ἐπὶ δὲ τούτοις τὰ τὴν αἵρεσιν περιέχοντα κεφάλαια, καὶ ἀνὰ τὴν Ἀρμενίαν περιφερόμενα κατεδίκασεν ὁ θεῖος Πατὴρ οὐδεμίαν τοῦ ὀνόματος τοῦ Θεοδώρου μνείαν ποιησάμενος (2). Δυστυχῶς δὲ τὴν συνετὴν αὐτοῦ βουλὴν ἐματαίωσεν ὁ ἀσύνετος ζῆλος μοναχῶν τινων κραυγαζόντων ἀνὰ πᾶσαν τὴν Ἀνατολήν, ὅτι κατεκρίθησαν τὰ κριθέντα ταῦτα κεφάλαια μετα τοῦ συγγραφέως αὐτῶν, καὶ ἐκ τούτου μεγάλας διεγειρόντων ταραχάς. Ὁ ἐπίσκοπος τῆς Ἐδέσσης Ἴβας ἐκηρύχθη ἐπίσης ὡς εὐνοϊκῶς διακείμενος τῷ Νεστορίῳ. Τοῦτο δὲ διήγειρε δυσαρέστησιν κατὰ τοῦ Πρόκλου. Ὁ μακάριος Πατριάρχης δηλώσας τὰς πράξεις αὐτοῦ, ἐλιπάρει, ἵνα ὁ Ἀντιοχείας Ἰωάννης πείσῃ τὸν Ἴβαν ὑπογράψαι, συνοδικῆς καταδίκης ἐπικειμένης, τὰ κατακριθέντα κεφάλαια τῶν συγγραμμάτων τοῦ Θεοδώρου (3). Ὁ μακάριος Πρόκλος ἀνεκόμισεν εἰς Κωνσταντινούπολιν (τῷ 438) πανηγυρικώτατα τὰ λείψανα τοῦ Οἰκουμενικοῦ διδασκάλου Χρυσοστόμου (4). Τῷ 439 κατέπληξε δεινὸς σεισμὸς τοὺς κατοίκους τῆς Κωνσταντι-

(1) Ἡ πρὸς τὸν Ἰωάννην ἐπιστολὴ τοῦ Πρόκλου καὶ ἡ εἰς αὐτὴν ἀπόκρισις τοῦ Ἰωάννου inter Acta V Synod. Constant. Act IV. ap. Vinium T. II p. 68., καὶ ἐν τῇ τοῦ Ρικκάρδου συλλογῇ τῶν συγγραμμάτων τοῦ Πρόκλου.

(2) Ἐπ. τοῦ ἁγίου Κυρίλλου πρὸς Ἀκάκιον in Consil. Constantin. II. (an. 553), collat. V. (Mansi, T. IX collat. 245). [Τοῦ ὀνόματος τοῦ Θεοδώρου οὐκ ἐμνημόνευσεν ὁ Πρόκλος, ἵνα μὴ προσκρούσῃ τοῖς ἀνατολικοῖς, ἡγουμένοις αὐτὸν σέμνωμα τῆς ἑαυτῶν χώρας. Σ. Μ.]

(3) Ἡ ἐπιστολὴ αὕτη τοῦ Πρόκλου πρὸς τὸν Ἰωάννην inter Act. V. Synod. Constantin. T. VI. consil. ed Ven Lab — [Πρβλ. Tillem. T. XIV. S Cyrille, Art. 142. p 631-32. et S. Procle ibid. p. 709 Σ Μ.]

(4) Εὐφραίμ. Χρονογρ ed. Maii collect Vet. Auct. T. III. p. 229. Τεμάχιον ἐκ λόγου τοῦ Πρόκλου εἰς τὸν Χρυσόστομον ἐξεδ. ὑπὸ Κομβεφισίου.

νουπόλεως. Ἐκ τούτου πολλοὶ κατέλιπον τὴν πόλιν, καὶ διημέρευον λιτανεύοντες. Ὁ λαὸς ἔκραζεν ἐκτενῶς: Κύριε ἐλέησον. Ἐν τῷ μέσῳ τῶν κραυγῶν τούτων παιδίον τι αἴφνης ἁρπαγὲν ἀνεφέρετο εἰς τὸν ἀέρα, καὶ ἔπειτα κατενεχθέν, μετέδωκε τῷ Ἐπισκόπῳ καὶ τῷ λαῷ τὸν ὑπ' αὐτοῦ ἀκουσθέντα ὕμνον τῶν ἀγγέλων: Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς. Ἐπαναληφθέντος ἐπὶ τῆς γῆς τοῦ ὕμνου τούτου, ἐπαύσατο ὁ τοῦ σεισμοῦ κλόνος. Τότε ἐθεσπίσθη ψάλλεσθαι τὸν ὕμνον τοῦτον ἀνὰ πᾶσαν τὴν Οἰκουμένην, καὶ ἔκτοτε παρέλαβον ἅπασαι αἱ Ἐκκλησίαι ᾄδειν αὐτὸν τῷ Θεῷ καθ' ἑκάστην(1). Τελευταῖον ποιμαντικὸν τοῦ ἁγίου Πρόκλου ἔργον ἦν ἡ πρὸς τὸν Πατριάρχην τῆς Ἀντιοχείας Δόμνον αἴτησις αὐτοῦ ὑπὲρ τοῦ ἀπωσθέντος τῆς Ἐκκλησίας αὐτοῦ ἐπισκόπου Ἀθανασίου (2). Ὁ μακάριος ποιμὴν ἐξεδήμησε πρὸς Κύριον τῷ 447 ἐν μηνὶ Ὀκτωβρίῳ (3).

Τὰ συγγράμματα τοῦ ἁγίου Πρόκλου συνίστανται σχεδὸν ἐκ μόνων λόγων(4). Ὡς ἐκκλησιαστικὸν ῥήτορα διὰ μεγάλου ἔχουσιν

(1) Ἰωάννης ὁ Δαμασκηνὸς ἐπ. περὶ τοῦ Τρισαγίου §. 6. Τ. 1. σ. 487. Θεοφάν. ἐν χρονογρ. σελ. 10. καὶ ἄλλοι.

(2) Ἐπ. ιγ'. [Ὁ Ἀθανάσιος οὗτος ἦν ἐπίσκοπος τῆς Περρηνῶν Ἐκκλησίας. Σ Μ].

(3) Ἡ μνήμη τοῦ ἁγ. Πρόκλου τελεῖται τῇ κ' Νοεμβρίου.

(4) Λόγους τινὰς καὶ ἑπτὰ ἐπιστολάς, ἐν αἷς καὶ τὸν πρὸς τοὺς Ἀρμενίους τόμον καὶ τὸν λόγον περὶ παραδόσεως τῆς θείας Λειτουργίας ἐξέδωκεν ὁ Ρικκάρδος: Analecta S. Procli gr. lat. Romæ, 1630, in 4. Ὑπὸ τοῦ Κομβεφισίου in Auct Nov. Bibl. Patrum, Paris. 1648. ἐξεδ. 20 λόγοι. Ὁ Μάϊος ἐξέδωκεν ἔτι: α'] in 4 Tom. Spicil. Rom. δύο λόγους ἑλληνιστὶ καὶ λατινιστὶ εἰς τὴν Ἀνάληψιν τοῦ Κυρίου ἡμῶν, καὶ εἰς τὴν ὀκταήμερν περιτομὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· τρεῖς ἐν λατιν. μεταφρ. ἐκ τοῦ συριακοῦ: *in Sabbato ante quadragesimam, de nativitate Domini. de Sancto Clemente Martyre*· β'] τεμάχιον ἐκ τεσσάρων λόγων (Collect. vet. auct. VII. 39, 134, 202. Spicil. Rom. T. X. p. 35). Εὐφραίμιος ὁ Ἀντιοχείας ἐπήνεσε τὸν λόγον τοῦ Πρόκλου εἰς τὴν Τεσσαρακοστὴν (παρὰ Φωτ. ἀνάγν. σκθ' σ. 422, 423). Οὔπω δ' ἐξεδόθησαν α'] ὁ λόγος, ἐν ᾧ ὁ Πρόκλος ἐφήρμωσε τοὺς λόγους τοῦ Ἰεζεκιήλ: « Καὶ σύ, υἱὲ ἀνθρώπου, προφήτευσον ἐπὶ Γὼγ ἄρχοντα . . . κρινῶ γὰρ αὐτὸν θανάτῳ, καὶ

αὐτὸν σεβασμοῦ. Ἐν τῇ εὐγλωττίᾳ αὐτοῦ ὁρῶσι τὸ ἐμβριθὲς τοῦ Βασιλείου ἡνωμένον τῇ τοῦ Χρυσοστόμου χάριτι. Αἱ ἐκφράσεις αὐτοῦ εἰσιν ἀείποτε ἀνθηραί, τὰ κοσμήματα τοῦ λόγου ποικίλα καὶ χαρίεντα. Τὸ ζωηρὸν τοῦ λόγου οὐκ ἀνέχεται μακρότητα λόγων, καὶ τὸ βραχὺ οὐδαμοῦ βλάπτει τὴν σαφήνειαν [α].

Τὰ ἐγκώμια αὐτοῦ εἰς τὴν παναγίαν Θεοτόκον Μαρίαν καὶ οἱ λόγοι εἰς τὴν ἐνανθρώπησιν καὶ εἰς τὸ Γενέθλιον τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἔχουσι μεγίστην σπουδαιότητα ὡς πρὸς τὴν διδασκαλίαν περὶ τοῦ Προσώπου τοῦ Σωτῆρος. «Συνεκάλεσεν ἡμᾶς νῦν ἐνταῦθα, λέγει ἐν τῷ πρώτῳ ἐγκωμίῳ, ἡ ἁγία Θεοτόκος Μαρία, τὸ ἀμόλυντον τῆς παρθενίας κειμήλιον, ὁ λογικὸς τοῦ δευτέρου Ἀδὰμ παράδεισος· τὸ ἐργαστήριον τῆς ἑνώσεως τῶν φύσεων· ἡ πανήγυρις τοῦ αἰωνίου συναλλάγματος, ἡ παστάς, ἐν ᾗ ὁ λόγος ἐνυμφεύσατο τὴν σάρκα· ἡ ἔμψυχος τῆς φύσεως βάτος, ἣν τὸ τῆς θείας ὠδῖνος πῦρ οὐ κατέκαυσεν· ἡ ὄντως κούφη νεφέλη ἡ τὸν ἐπὶ τῶν Χερουβὶμ μετὰ σώματος βαστάσασα· ὁ τοῦ ἐξ οὐρανοῦ ὑετοῦ καθαρώτατος πόκος, ἐξ οὗ ὁ ποιμὴν τὸ πρόβατον ἐνεδύσατο. Μαρία ἡ δούλη καὶ μήτηρ, ἡ παρθένος, καὶ οὐρανός, ἡ μόνη Θεοῦ πρὸς ἀνθρώπους γέφυρα· ὁ φρικτὸς τῆς οἰκονομίας ἱστός,

---

αἵματι, καὶ ὑετῷ κατακλύζοντι...» (λη' 22 καὶ ἑξῆς.) τῇ ὑπὸ Θεοῦ δοθείσῃ νίκῃ κατὰ τῶν Οὔννων Σωκρ. ζ' 43. Νικηφ. ιδ' 38)· ε'] ὁ λόγος εἰς τὸ τοῦ Ἡσαΐου θ' 16, οὗ μνημονεύουσιν ἡ ἐν Χαλκηδόνι Σύνοδος (ed Binii. T. II. p. 349) καὶ Ἀναστάσιος ὁ Σιναΐτης (Ὁδηγ. κεφ. ζ') γ'] Ἡ ὁμιλία εἰς τὰ Φῶτα, εἰς τὴν Ἀνάστασιν τοῦ Λαζάρου, καὶ εἰς τὴν Κυριακὴν τῶν Βαΐων, τηρουμένη ἐν ταῖς χειρογρ τῆς ἐν Βιέννῃ Βιβλιοθ. (Lambec. comment. V. 27)

[α] Ἐκ τῶν νεωτέρων κριτικῶν ὁ μὲν Cave λέγει : Quantum ex scriptis, quæ supersunt, judicare licet, stylus ejus laconicus est, sed humilis. quique aculeis quibusdam auditorum animos pungit, parum vero bonæ frugis post se relinquit» Script. eccl. Historia literaria, T. I p. 423)· ὁ δὲ Ceillier: «Il y a moins à profiter dans la plupart de ses sermons : le style en est sententieux, coupé et chargé de figures? on dirait qu' il s' y est plus étudié à plaire qu' à toucher, et à polir son discours qu' à le rendre utile à ses auditeurs Il ne manqait ni de sens ni de vivacité, et savait présenter une même pensée sous une infinité de faces différentes». (Hist. générale des aut ecclés. T. VIII. p. 416-17. nouvel. édit.) Σ. Μ.

ἐν ᾧ ἀρρήτως ὑφάνθη ὁ τῆς ἑνώσεως χιτών· οὗπερ ἱστουργὸς μὲν τὸ Πνεῦμα τὸ ἅγιον, ἔριθος δὲ ἡ ἐξ ὕψους ἐπισκιάσασα δύναμις· ἔριον δὲ τὸ ἀρχαῖον τοῦ Ἀδὰμ κώδιον· κρόκη δὲ ἡ τῆς Παρθένου ἀμόλυντος σάρξ· κερκὶς δὲ ἡ ἀμέτρητος τοῦ φορέσαντος χάρις· τεχνίτης δὲ ὁ δι' ἀκοῆς εἰσπηδήσας Λόγος . . . . . οὐκ ἐπησχύνθη ὁ φιλάνθρωπος τὴν ἐκ γυναικὸς ὠδῖνα· ζωὴ γὰρ ἦν τὸ πραγματευόμενον· οὐκ ἐμολύνθη οἰκήσας μήτραν, ἥνπερ Αὐτὸς ἀνυβρίστως ἐδημιούργησεν. Εἰ μὴ γὰρ Παρθένος ἔμεινεν ἡ Μήτηρ, ψιλὸς ἄνθρωπος ὁ τεχθείς, καὶ οὐ παράδοξος ὁ τόκος· εἰ δὲ καὶ μετὰ τόκον ἔμεινε Παρθένος, πῶς οὐχὶ καὶ Θεός, καὶ τὸ μυστήριον ἄφραστον; Ἐκεῖνος ἀφράστως ἐγεννήθη, ὁ καὶ τῶν θυρῶν κεκλεισμένων εἰσελθὼν ἀκωλύτως· οὗ τὴν συζυγίαν τῶν φύσεων ἰδὼν ὁ Θωμᾶς, ἀνεκεκράγει λέγων: ὁ Κύριός μου καὶ ὁ Θεός μου . . . . Μάθε πρῶτον τὴν οἰκονομίαν καὶ τὴν αἰτίαν τῆς παρουσίας, καὶ τότε δόξασον τὴν δύναμιν τοῦ σαρκωθέντος, ἐπειδὴ ὤφειλεν ἐξ ἁμαρτιῶν ἡ τῶν ἀνθρώπων φύσις, καὶ ἠπόρει πρὸς τὸ χρέος. Διὰ γὰρ τοῦ Ἀδὰμ πάντες τῇ ἁμαρτίᾳ ἐχειρογραφήσαμεν· δούλους ἡμᾶς κατεῖχεν ὁ διάβολος· τὰς ὠνὰς ἡμῶν περιέφερε, χάρτῃ κεχρημένος τῷ πολυπαθεῖ ἡμῶν σώματι· εἱστήκει ὁ κακὸς τῶν παθῶν πλαστογράφος, ἐπισείων ἡμῖν τὸ χρέος, καὶ ἀπαιτῶν ἡμᾶς τὴν δίκην. Ἔδει τοίνυν δυοῖν θάτερον· ἢ πᾶσιν ἐπαχθῆναι τὸν ἐκ τῆς καταδίκης θάνατον, ἐπειδὴ καὶ πάντες ἥμαρτον· ἢ τοιοῦτον δοθῆναι πρὸς ἀντίδοσιν τίμημα, ὃ πᾶν τῷ χρέει ὑπῆρχε δικαίωμα πρὸς παραίτησιν. Ἄνθρωπος μὲν οὖν σῶσαι οὐκ ἠδύνατο· ὑπέκειτο γὰρ χρέει τῆς ἁμαρτίας· ἄγγελος δὲ ἐξαγοράσασθαι τὴν ἀνθρωπότητα οὐκ ἴσχυεν. Ἠπόρει γὰρ τοῦ λύτρου. Λοιπὸν οὖν ὁ ἀναμάρτητος Θεὸς ὑπὲρ τῶν ἡμαρτηκότων ἀποθανεῖν ὤφειλεν. Αὕτη γὰρ ἐλείπετο τοῦ κακοῦ ἡ λύσις . . . » — Ἐν τῷ πρώτῳ λόγῳ εἰς τὴν ἐνανθρώπησιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἰς τὴν ἐρώτησιν: « Ἃ τοίνυν οὐκ εἶδες, τί κομπάζεις ἑωρακέναι; Τί οὖν μοί, φησι, προσφέρεις; ὅτι ἠδύνατο γυνὴ γεννῆσαι Θεόν; » ἀποκρίνεται ὧδε: « Οὐ λέγω σοι, ὅτι ἠδύνατο γυνὴ Θεὸν γεννῆσαι, ἀλλ' ὅτι ἠδύνατο Θεὸς σαρκωθεὶς γεννηθῆναι ὑπὸ γυναικός· πάντα γὰρ Αὐτῷ δυνατά». Ἐν τῇ ἀρχῇ τοῦ αὐτοῦ λόγου λέγει: « Αἰσχυνέσθωσαν Ἄρειος, καὶ Εὐνόμιος, Μακεδόνιός τε καὶ Νεστόριος, τὸ τετρά-

πωλον τοῦ διαβόλου ἅρμα· οἱ τῶν αἱρέσεων σκόπελοι· αἱ τῆς βλασφημίας σπιλάδες, τὰ τῶν ψυχῶν ναυάγια· αἱ τῆς δυσσεβείας ὕφαλοι πέτραι· οἱ πονηροὶ τῆς Τριάδος ζυγοστάται . . . .» Ἐν τῷ λόγῳ εἰς τὴν ἁγίαν Πεντηκοστὴν πραγματεύεται περὶ τῆς Θεότητος τοῦ ἁγίου Πνεύματος. Ἐν δὲ τῇ ἐπιστολῇ πρὸς Ἀρμενίους περὶ πίστεως οὐ τῇ γραφίδι ῥήτορος, ἀλλ᾽ ὡς δογματιστὴς διαγράφει τὴν ἐνσάρκωσιν τοῦ Θεοῦ Λόγου ἀκριβέστατα καὶ σαφέστατα [6].

Ὁ περὶ παραδόσεως τῆς θείας Λειτουργίας λόγος ἐστὶ πάνυ σπουδαῖος. Ἐν αὐτῷ πραγματεύεται ὁ θεῖος Πατὴρ περὶ τῆς λειτουργίας τοῦ Ἀποστόλου Ἰακώβου, περὶ τῆς ὑπὸ τοῦ Βασιλείου τοῦ Μεγάλου γενομένης ἐπιτομῆς αὐτῆς, καὶ ἔπειτα ὑπὸ τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου. Περὶ τῆς γνησιότητος τούτου τοῦ συγγράμματός τινες ἐκφέρουσιν ἀμφιβολίας, ἀλλὰ τηνάλλως. Ὁ Ἐβὲδ-Ἰεσοῦ, Σύρος συγγραφεύς, ἀκμάσας κατὰ τὸν ιδ᾽ αἰῶνα, ἐγίγνωσκεν ἐν συριακῇ μεταφράσει αὐτὸν ὡς σύγγραμμα τοῦ ἁγίου Πρόκλου (1). Λέγουσιν, ὅτι δῆθεν ὁ ἅγ. Πρόκλος οὐκ ἠδύνατο διϊσχυρίσασθαι, ὅτι ὁ Ἀπόστολος Ἰάκωβος συνέταξε Λειτουργίαν. Οὐ διϊσχυριζόμεθα ὅτι οὗτος ἔγραψε Λειτουργίαν, ὡς καὶ οὐδεὶς τῶν Ἀποστόλων(2). Ἀλλ᾽ ὁ ἀποστολικὸς Πατὴρ ἅγ. Κλήμης λέγει: «τάς τε προσφορὰς καὶ λειτουργίας ἐπιτελεῖσθαι, καὶ οὐκ εἰκῇ ἢ ἀτάκτως ἐκέλευσε γίνεσθαι, ἀλλ᾽ ὡρισμένοις καιροῖς καὶ ὥραις . . . .» (3). Ἦν τοίνυν τάξις, καθ᾽ ἣν ἐτελεῖτο ἡ ἁγία Εὐχαριστία ἐν Ἱεροσολύμοις, καὶ ἀναμφιβόλως αὕτη κατεστάθη ὑπὸ τοῦ πρώτου ἐπισκόπου τῆς ἁγίας πόλεως Ἰακώβου. Ὁ ἅγιος Ἐπιφάνιος λέγει περὶ τοῦ ἁγίου Ἰακώβου, ὅπερ καὶ ὁ Πρόκλος ἐν τῷ συγγράμματι τούτῳ (4).

---

[6] «Sa lettre aux Armeniens, λέγει ὁ σοφὸς Ceillier, lui a merité l'estime de toute l'antiquité On y voit toute l'habileté et toute l'exactitude d'un homme accoutumé à traiter avec solidité les matières les plus sublimes et les plus difficiles» (Hist. Gén. des aut. eccl. T. VIII. p. 416. nouvel. éd). Σ. Μ.

(1) Asseman. B. Or. T. III. P. s. p. 197.

(2) Βασίλειος ὁ Μ. περὶ τοῦ ἁγίου Πνεύματος κεφ 27.

(3) Ἐπ. Ἀ πρὸς Κορινθ. κεφ. 40.

(4) Κατὰ αἱρ. οθ᾽ §. 9. Ἢ περὶ

Ἐν τῷ δευτέρῳ λόγῳ εἰς τὴν Ἐνανθρώπησιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ λέγει περὶ τῶν χριστιανικῶν ἑορτῶν τάδε: «Πολλαὶ καὶ διάφοροι πανηγύρεις τὸν ἀνθρώπινον φαιδρύνουσι βίον, τῷ κύκλῳ τῶν ἑορτῶν τῆς ἐπιμόχθου ζωῆς τὸ λυπηρὸν εἰς ἡδονὴν μεταβάλλουσαι. Ὥσπερ γὰρ οἱ μετὰ ζάλης ἐκ πελάγους καταβαίνοντες, χαίρουσι τοῖς λιμέσιν, ὡς ζωῆς ἀγκάλαις· οὕτω μετὰ πολλὰς πραγμάτων περιστάσεις ἑορτάζων ὁ ἄνθρωπος, χαίρει τῇ πανηγύρει ὡς ἀμεριμνίας μητρί». Εἰπὼν ἔπειτα, ὅτι καὶ παρὰ τοῖς Ἐθνικοῖς καὶ τοῖς Ἰουδαίοις εἰσὶν ἐπ᾽ ἴσης ἑορταί, μόνον οὐχ ὑψηλαὶ κατὰ τὴν ὑπόθεσιν, ἐπάγει: «Αἱ δὲ τῶν Χριστιανῶν πανηγύρεις θεῖαι καὶ παράδοξοι, καὶ ὄντως πηγαὶ καὶ θησαυροὶ σωτηρίας. Ἡ μὲν γὰρ πρώτη ἡμῶν πανήγυρις, Θεοῦ πρὸς ἀνθρώπους ἐπιδημίαν κηρύσσει. Ἡ δὲ μετ᾽ ἐκείνην, ὑδάτων ἁγιασμὸν καὶ βαπτίσματος εἰκονογραφεῖ μήτραν. Ἡ τρίτη κατάδυσιν θανάτου, καὶ σταυροῦ τρόπαιον, καὶ ἀναστάσεως δῶρον, καὶ πατράσιν ἐλευθεροποιὸν εὐαγγελίζεται. Ἡ τετάρτη, τῆς ἡμετέρας ἀπαρχῆς τὴν εἰς οὐρανοὺς ἄνοδον, καὶ τὴν ἐκ δεξιῶν κέκραγε καθέδραν. Ἡ πέμπτη Πνεύματος ἁγίου κάθοδον, καὶ μυρίων χαρισμάτων ὄμβρους σαλπίζει. Αὗται εἰσιν αἱ ἑορταί, ἃς ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐταῖς» [γ].

παραδόσεως τῆς θείας Λειτουργίας πραγματεία ἐστὶν ἀναμφηρίστως τεμάχιον συγγράμματός τινος. Ἀλλὰ τίνος; Βεβαίως οὐχὶ ὁμιλίας, διότι ἡ λέξις οὐδαμῶς ἐστιν ὁμοία τῇ τῶν ὁμιλιῶν τοῦ Πρόκλου. Ἐστὶ μᾶλλον παραπλησία τῇ τοῦ πρὸς τοὺς Ἀρμενίους περὶ πίστεως τόμου, καὶ ἐντεῦθεν πάνυ πιθανόν, ὅτι ἐστὶ τεμάχιον ταύτης τῆς ἐπιστολῆς

[γ] «Ἄλλα παραλείπομεν, λέγει ὁ κλεινὸς Οἰκονόμος, σημειοῦντες μόνον τὸ ἐφεξῆς· Ὅτι ὁ ΙΕ΄ τῶν τοῦ ἁγιωτάτου Πρόκλου Λόγων ἐρρέθη «εἰς τὸ ἅγιον Πάσχα, καὶ εἰς τὸ Ἐν ἀρχῇ ἦν ὁ Λόγος». Ἐκ δὲ τούτου (ὡς καὶ ἐκ τῆς εἰς τὴν Ἀνάστασιν Ζ΄ ὁμιλίας τοῦ θείου Χρυσοστόμου) δείκνυται τρανῶς, ὅτι ἡ αὐτὴ ἀρχαία τάξις τῶν Πατέρων διατηρεῖται καὶ μέχρι σήμερον ἐν τῇ Ὀρθοδόξῳ τοῦ Χριστοῦ Ἐκκλησίᾳ, ἥτις καὶ νῦν ἀναγινώσκει τὸ Ἐν ἀρχῇ ἦν ὁ Λόγος ἐν τῇ λειτουργίᾳ τῆς ἁγίας ἡμέρας τοῦ Πάσχα (περὶ τῶν Ο΄ ἑρμην. Βιβλ. Δ΄ κεφ. έ σελ. 668-69). Σ. Μ.

§. 212. Κύριλλος ὁ Ἀλεξανδρείας. Βίος αὐτοῦ μέχρι τῆς ἐν Ἐφέσῳ συγκροτηθείσης ἁγίας καὶ Οἰκουμενικῆς Γ´ Συνόδου.

Ὁ πρὸς μητρὸς ἀνεψιὸς Θεοφίλου τοῦ Ἀλεξανδρείας (1) ἅγιος Κύριλλος ἀνετράφη ἀπὸ βρέφους ἐν τῇ μελέτῃ τῶν ἱερῶν γραμμάτων, καὶ ἐπαιδεύθη, ὡς αὐτὸς λέγει, τὰς χριστιανικὰς ἀληθείας ἐν τοῖς συγγράμμασι τῶν ἀρχαίων διδασκάλων (2). Χρόνον τινὰ διῆλθε παρὰ τοῖς μοναχοῖς τῆς Νιτρίας (3), καὶ τῷ 403 παρῆν μετὰ τοῦ θείου αὐτοῦ ἐν τῷ συνεδρίῳ τῆς Δρυός, τῷ καταδικάσαντι τὸν ἅγιον Χρυσόστομον (4). Τελευτήσαντος δὲ τοῦ Θεοφίλου (τῇ ις´ Ὀκτωβρίου τοῦ 412), ἐξελέγη ὑπό τε τοῦ κλήρου καὶ τοῦ λαοῦ διάδοχος αὐτοῦ ὁ Κύριλλος (5).

Πρῶτον ἔργον τοῦ Κυρίλλου ἐπὶ τὸν ἀρχιεπισκοπικὸν θρόνον ἀναβάντος ἦν ἡ ἐκ τῆς Ἀλεξανδρείας ἐξελασία τῶν Ναυατιανῶν [α].

---

(1) Ἰσίδωρος ὁ Πηλουσιώτης (βιβλ. Α´ ἐπ. 310), ὁ Σωκράτης (ἐκκλησ. ἱστορ. ζ´ 7), καὶ ὁ Θεοδώρητος (ἐκκλησ. ἱστορ. ε´ 35) καλοῦσιν αὐτὸν ἀδελφιδοῦν τοῦ Θεοφίλου. Ὁ Νικηφόρος (ιε´ 25 υἱὸν τοῦ ἀδελφοῦ· ἀλλ' ὀρθότερον λέγεται ἐν τῷ ἀλεξανδρ χρον. υἱὸς τῆς ἀδελφῆς τοῦ Θεοφίλου

(2) Ἐπ. 57 καὶ 35, ap. Lupum Ἐκ τοῦ κατὰ Ἰουλιανοῦ συγγράμματος αὐτοῦ ἀποδείκνυται, ὅτι ἀνέγνω πολλοὺς τῶν ἐθνικῶν συγγραφέων.

(3) Renaudot, Hist. Patriarch. Alex. p. 106.

(4) Ἐν τῇ πρὸς Ἀκάκιον ἐπιστολῇ λέγει αὐτός, ὅτι παρεγένετο τῷ συνεδρίῳ τούτῳ (Balusii Collect. Concil. p. 759). Εἰς τὸν χρόνον τοῦτον ἀναφέρεται ἡ τοῦ ἁγ. Ἰσιδώρου τοῦ Πηλουσιώτου πρὸς αὐτὸν ἐπιστολὴ (Βιβλ. Α´ ἐπ. 25), ἔνθα λέγει αὐτῷ: «ἀμήχανον ἐν μέσῳ θορύβων ἀρετὴν κατορθῶσαι».

(5) Σωκρ. ζ´ 7. [Κατὰ τὴν Σωκράτην, ἡ ἐκλογὴ τοῦ Κυρίλλου ἐγένετο οὐκ ἄνευ ταραχῆς, τῶν μὲν θελόντων ἐνθρονισθῆναι Τιμόθεον τὸν ἀρχιδιάκονον Ἀλεξανδρείας, τῶν δέ, τὸν Κύριλλον. Ἀβουδάτος ὁ τοῦ στρατοῦ τῆς Αἰγύπτου ἀρχηγὸς ἦν ὑπὲρ τῆς μερίδος τοῦ Τιμοθέου, καὶ ὁ λαὸς ἐστασίασεν· ἀλλ' ὁ ἅγιος Κύριλλος ὑπερισχύσας, ἐνεθρονίσθη τῇ τρίτῃ ἡμέρα μετὰ τὴν τελευτὴν τοῦ Θεοφίλου, δηλ. τῇ ιη´ Ὀκτωβρίου Σ. Μ.].

[α] Οἱ Ναυατιανοὶ εἶχον ἐν Ἀλεξανδρείᾳ ἐκκλησίας, ἐν αἷς ἐτέλουν ἐλευθέρως καὶ φανερῶς τὰς ἱεροπραξίας αὐτῶν. Τοῦτο δ' οὐκ ὀλίγον συνετέλει εἰς τὴν ἐξάπλωσιν τῶν

Μετ' οὐ πολὺ δὲ στάσις τῶν Ἰουδαίων ἐγένετο ἀφορμή, ἵνα τούτων οἱ μέν, κατὰ τὴν θέλησιν αὐτοῦ, θανάτῳ παραδοθῶσιν, οἱ δὲ ἐξελαθῶσι τῆς Ἀλεξανδρείας, καὶ διαρπαγῶσιν αἱ περιουσίαι αὐτῶν [β]. Ὁ Ἔπαρχος Ὀρέστης ἐχαλέπηνεν ἐπὶ τούτῳ, καὶ ἤρξατο παρέχειν φανερῶς δυσαρεστήσεις τῷ Κυρίλλῳ. Ὁ ποιμήν, κατὰ προτροπὴν πολλῶν συνετῶν καὶ εἰλικρινῶς ἀγαπώντων καὶ σεβόντων αὐτόν, ἐσπούδαζε διαλλαγῆναι πρὸς τὸν Ὀρέστην, ἀλλ' οὗτος οὐδοπωστιοῦν ἐπόθει τοῦτο. Οἱ κατὰ τὴν Νιτρίαν μοναχοί, κατελθόντες εἰς Ἀλεξάνδρειαν ὑπὲρ τοῦ Κυρίλλου, περιύβριζον δημοσίᾳ τὸν Ὀρέστην, εἷς δ' αὐτῶν ἔβαλεν αὐτὸν λίθῳ κατὰ τῆς κεφαλῆς. Ὁ αἴτιος συλληφθεὶς ἐφονεύθη· ὁ δὲ Κύριλλος, ἀναλαβὼν τὸ σῶμα αὐτοῦ καὶ ἀποθέμενος ἐν μιᾷ τῶν Ἐκκλησιῶν, διέταξεν ἐνταφιάσαι αὐτὸν ὡς μάρτυρα [γ]. Τοῦτο συνέβη τῷ 415. Οὐδεμία ἀμφιβολία, ὅτι ἔπραττε

πλανῶν τοῦ Ναυάτου. Οἱ ἰσχυρογνώμονες Ναυατιανοὶ οὐκ ἐξετίμων, ἣν ἐδείκνυ αὐτοῖς ἐπιείκειαν ἡ ὀρθόδοξος Ἐκκλησία. Ἐκ τούτου δέ, κατὰ τὸν Σωκράτην, ὁ Κύριλλος εὐθέως μετὰ τὴν ἐπὶ τὸν ἀρχιεπισκοπικὸν θρόνον ἀνάβασιν αὐτοῦ, ἔκλεισε τοὺς ναοὺς αὐτῶν, ἔλαβε τὰ ἱερὰ αὐτῶν κειμήλια, τὸν δ' ἐπίσκοπον αὐτῶν Θεόπεμπτον ἐστέρησε τὰ ὑπάρχοντα αὐτοῦ. Κατὰ τὸν αὐτὸν Σωκράτην καὶ ὁ Πάπας Καιλεστῖνος ἀφείλετο μετά τινα χρόνον της ἐν Ρώμῃ Ἐκκλησίας τῶν Ναυατιανῶν, καὶ «τὸν ἐπίσκοπον αὐτῶν Ρουστικοῦλαν κατ' οἰκίας ἐν παραβύστῳ συνάγειν ἠνάγκασε» (ἐκκλ. ἱστορ. ζ' 11). Σ. Μ.

[β] Ἀναμφίβολον, ὅτι ὁ Ἱεράρχης ἔπραξε τοῦτο ἐρειδόμενος ἐπὶ δικαιωμάτων παραχωρηθέντων τοῖς ἐπισκόποις τῆς Ἀλεξανδρείας ὑπὸ τῶν αὐτοκρατόρων. Ἄλλως οἱ Ἰουδαῖοι ἐπανῆλθον ἂν ταχέως εἰς Ἀλεξάνδρειαν, καὶ ὁ Ἔπαρχος Ὀρέστης, ὃς ἐγένετο περιοργὴς ἐπὶ ταύτῃ τῇ ἐξελασίᾳ, οὐδ' ἐπὶ μικρὸν ὤκνησεν ἐπιτρέψαι αὐτοῖς τὴν εἰς τὴν πόλιν ἐπάνοδον καὶ ὑπερασπίσαι αὐτοὺς τῇ στρατιωτικῇ δυνάμει, νομίζων τοῦτο ἔργον αὐθαιρεσίας καὶ παρανόμου ἐπεμβάσεως εἰς ἀλλότρια καθήκοντα.

[γ] Ταῦτα λέγει ὁ Σωκράτης (ζ' 14), ὃς προστίθησιν, ὅτι οἱ σωφρονοῦντες, καίπερ χριστιανοὶ ὄντες, οὐκ ἀπεδέχοντο τὸν ζῆλον τοῦτον τοῦ Κυρίλλου. Ἀλλ' ἐπαγαγών, ὅτι αὐτὸς ὁ Κύριλλος τῇ σιωπῇ αὐτοῦ λήθῃ τῶν γενομένων εἰργάσατο, καθίστησι δῆλον, ὅτι ἀλόγως ἀποδιδοῦσι τῷ ἁγίῳ Πατρὶ τὴν πρόθεσιν τοῦ τάξαι τὸν μοναχὸν τοῦτον ἐν τῷ χορῷ τῶν μαρτύρων. Σ. Μ.

ταῦτα ὑπὸ ζήλου ὁρμώμενος. Ἀδύνατον δὲ μὴ ἀνομολογῆσαι, ὅτι ὁ ζῆλος οὗτος οὐ συνῆδε παντάπασι τῷ εὐαγγελικῷ πνεύματι. Τὰ δὲ περιστατικὰ ταῦτα κατέδειξαν, ὅτι ἀπέκειτο τῷ ποιμένι τῆς Ἀλεξανδρείας παλαίειν κατὰ τὰ πρῶτα ἔτη πρὸς τὸ θερμὸν τοῦ χαρακτῆρος αὐτοῦ, καὶ πρὸς τὰς ὑπὸ τοῦ Θεοφίλου μεταδοθείσας αὐτῷ ἰδέας, πρὶν ἢ τὸ πνεῦμα τοῦ Χριστοῦ ἐπικρατήσῃ τῆς ψυχῆς αὐτοῦ τῆς ὑπὸ τῆς πρὸς τὸν Κύριον ἀγάπης φλεγομένης (1). Διὰ τὴν αὐτὴν αἰτίαν διετέλει ἐχθρικῶς διακείμενος πρὸς τὸν ἐν Κυρίῳ ἀναπαυσάμενον Χρυσόστομον(2). Ἀττικὸς ὁ Κωνσταντινουπόλεως Πατριάρχης πρῶτος ἀνέγραψεν ἐν τοῖς διπτύχοις τὸ ὄνομα τοῦ πολυάθλου στεφανίτου, καὶ οἰκουμενικοῦ διδασκάλου τῆς πίστεως Χρυσοστόμου, καὶ δὴ καὶ ἔγραψε πρὸς Κύριλλον, παρακαλῶν αὐτὸν ποιῆσαι τὸ αὐτό. Ἀλλ' οὗτος οὐ μόνον οὐκ ἠβουλήθη πληρῶσαι τὴν παράκλησιν τοῦ Ἀττικοῦ, ἀλλὰ καὶ πικρῶς κατέκρινεν αὐτὸν ἐπὶ τῇ πράξει ταύτῃ, ἣν ἐ-

(1) Ὁ Σωκράτης (ζ' 7, 13-15) καὶ μετ' αὐτὸν ὁ Νικηφόρος (ιδ' 14) διηγοῦνται καθ' ἓν ἕκαστον ταῦτα τὰ γεγονότα. Ὅσον δ' ἀφορᾷ εἰς τὴν Ὑπατίαν, τὴν κατὰ τὸν βίον αὐστηρὰν καὶ φιλόσοφον, συνετέλεσεν ἀναμφιβόλως εἰς τὸν φόνον αὐτῆς ὁ Κύριλλος τοσοῦτον, ὅσον καὶ ὁ Ὀρέστης. Ὁ ἐθνικὸς Δαμάσκιος πρῶτος ἐξυλάκτησε κατὰ τοῦ θεσπεσίου Πατρὸς τὴν συκοφαντίαν, ὅτι δῆθεν αὐτὸς παρώξυνε τὸ πλῆθος τῶν Ἀλεξανδρέων εἰς τὸ φονεῦσαι τὴν Ὑπατίαν. [« Τὴν συκοφαντίαν ταύτην, λέγει ὁ σοφὸς Ἰωάννης Ν. Βαλέττας, πρῶτος ἐξυλάκτησε κατὰ τοῦ θείου Κυρίλλου ὁ νεοπλατωνικὸς φιλόσοφος καὶ μισόχριστος Δαμάσκιος, καὶ ἐξ ἐκείνου παραλαβόντες διέδωκαν τῶν νεωτέρων τινές, ὅσοι τῷ αἱρετικῷ Νεστορίῳ συμφωνοῦντες, καὶ τὴν προσήκουσαν τῇ Θεοτόκῳ τιμὴν ἀρνούμενοι, πικρὰν ἐκχέουσι χολὴν κατὰ τοῦ Κυρίλλου, ὡς τὸν δυσσεβῆ ἐκεῖνον αἱρετικόν, τὸν τὴν Θεοτόκον Χριστοτόκον ἀποκαλοῦντα, εὐσεβῶς καταδιώξαντος καὶ τῆς ἐν Ἐφέσῳ τρίτης Οἰκουμενικῆς Συνόδου προεδρεύσαντος, ἐν ᾗ ὁ Νεστόριος κατεδικάσθη καὶ καθῃρέθη. Ἀλλ' οἱ φρονιμώτεροι τῶν νεωτέρων συγγραφέων, οἷοι ὁ Cave, ὁ Dupin, ὁ Harles, καὶ πλεῖστοι ἄλλοι συνηγοροῦσιν ὑπὲρ τοῦ θείου Κυρίλλου, οὐδαμῶς τὴν κατηγορίαν ταύτην ἀποδεχόμενοι . . . » Μετάφρ. τῆς ἱστορ. τῆς ἀρχ. ἑλλην. φιλολογ. Δοναλδσῶνος, Τ. 2. σελ. 382, 383. Βλ. καὶ Οἰκον. Περὶ τῶν Ο' ἑρμην. Βιβλ. Δ' κεφ ε' σελ. 644. Σ. Μ.].

(2) Βλ. περὶ Χρυσοστόμου.

θεώρησε παράβασιν τῶν κανόνων [1]. Μετὰ ταῦτα ὅμως ἐπείσθη ὑπὸ τοῦ ἁγίου Ἰσιδώρου τοῦ Πηλουσιώτου, ὃν ἔσεβεν ὡς πατέρα [2] καταλιπεῖν, ἃς ἐνέπνευσεν αὐτῷ ὁ Θεόφιλος περὶ τοῦ Χρησορρήμονος ἰδέας [3], καὶ ἐγγράψαι τὸ ὄνομα αὐτοῦ τοῖς διπτύχοις [4]. Τοῦτο ἐγένετο τῷ 417ῳ ἔτει [5].

Οὐ μὴν ἀλλὰ ὁ σοφὸς καὶ πλήρης ἐνθέου ζήλου ποιμὴν τῆς Ἀλεξανδρείας ἠσχολεῖτο ἐν τῷ χρόνῳ τούτῳ περὶ τὴν ἑρμηνείαν τῆς ἁγίας Γραφῆς, περὶ τὸ κήρυγμα τοῦ θείου λόγου, καὶ περὶ τὴν ἔκθεσιν ἐνίων δογμάτων πρὸς ἀνασκευὴν πλανῶν [6]

---

(1) Ἡ ἐπιστολὴ τοῦ Ἀττικοῦ ἐτυπώθη ἐν τοῖς συγγράμμασι τοῦ Κυρίλλου T. V. P. II. p. 201-203.

(2) Ἰσιδώρ. ἐπ. 370. βιβλ. Α΄.

(3) Βλ. περὶ Ἰσιδ. σημ. 20, 25.

(4) Νικηφ. ιδ΄ 28.

(5) Ὁ Θεοδώρητος λέγει «οὐ πρότερον οἱ τῆς ἑσπέρας ἐπίσκοποι τῶν ἐν Αἰγύπτῳ καὶ τῇ Ἑῴᾳ, καὶ τῶν ἐν τῷ Βοσπόρῳ καὶ τῇ Θράκῃ τὴν κοινωνίαν ἠσπάσαντο ἕως ἐκείνου τοῦ θεσπεσίου ἀνδρὸς (τοῦ Χρυσοστόμου) τοὔνομα τοῖς τεθνεῶσιν ἐπισκόποις συνέταξαν» » (ἐκκλ. ἱστορ. ε΄ 34). Ἀλλ' ὁ Ῥώμης Πάπας Ζώσιμος ἀνήγγειλε τῷ 418 τοῖς Πατριάρ. Κωνσταντινουπόλεως καὶ Ἀλεξανδρείας τὴν καταδίκην τῶν Πελαγιανῶν (Mar. Mercat. in common c. I. et 3). Ὁ Βονιφάκιος ἔγραψε τῷ 419: ante breve tempus, i. e. sub prodecessore meo, beatæ recordationis Innocentio, orientalium ecclesiarum pontifices per legatos pacem, sicut caritas vestra retinet, proposuerunt. Ἐνταῦθα ἐννοητέον τὴν διαλλαγὴν τοῦ Ἰννοκεντίου πρὸς τοὺς Πατριάρ. Κωνσταντινουπόλεως καὶ Ἀντιοχείας, (Βλ. περὶ Χρυσοστόμου), μεθ' ὃ ἐπῆλθε ἐπὶ Ζωσίμου, καὶ ἡ μετὰ τοῦ Κυρίλλου διαλλαγή.

(6) Πρὸ τῶν Νεστοριανῶν ἐρίδων συνεγράφησαν τὰ ἑξῆς πονήματα:

α΄] Περὶ τῆς ἐν πνεύματι καὶ ἀληθείᾳ προσκυνήσεως καὶ λατρείας λόγ. 17, καὶ τὰ Γλαφυρά. Ἀπόδειξις τούτου α΄] τὰ χωρία τοῦ τελευταίου συγγράμματος, ἔνθα μνημονεύει τοῦ πρώτου ὡς οὐ πρὸ πολλοῦ συνταχθέντος (λόγ. Ά σελ. 2. λόγ. Γ΄ σελ. 342)· β΄] ἐν ἀμφοτέροις τοῖς συγγράμμασιν οὐδ' ὑπαινιγμὸς γίγνεται περὶ τοῦ Νεστορίου, καὶ Ἀνδρέας ὁ Σαμοσάτων (παρὰ τῷ Ἀναστ. ἐν ὁδηγ. σελ. 342) ἐμνημόνευε μαρτυρίας ἐκ τοῦ πρώτου συγγράμματος.

β΄] Ἡ ἑρμηνεία εἰς τὴν πρὸς Ἑβραίους ἐπιστολήν, αἱ ἑορταστικαὶ ὁμιλίαι, ἡ ἐπιστολαί. Τὰ συγγράμματα ταῦτα ἐμνη-

Ἀπὸ τοῦ 429 ἀνεῴχθη εὐρὺ στάδιον τῷ πλήθει ἐνθέου ζήλου Κυρίλλῳ. Αἰγύπτιοι μοναχοί, ἐλθόντες εἰς Ἀλεξάνδρειαν κατὰ τὸ Πάσχα, ἀνήγγειλαν τῷ ἑαυτῶν ποιμένι, ὅτι νέα διδασκαλία κατὰ τῆς δόξης τοῦ Λυτρωτοῦ Υἱοῦ τοῦ Θεοῦ καὶ τῆς παναχράντου Αὐτοῦ Μητρὸς ταράσσει τὰς εἰρηνικὰς μονὰς τῆς Αἰγύπτου. Ἡ διδασκαλία αὕτη ἦν ἡ τοῦ Νεστορίου, ἐξαπλωθεῖσα μετὰ τῶν ὁμιλιῶν αὐτοῦ (¹). Ὁ ἅγιος Κύριλλος ἡγήσατο καθῆκον αὐτοῦ προφυλάξαι τὰ ἴδια πρόβατα τῆς πλάνης. «Θρύλλοι τινές, ἔγραψεν ἐν τῇ πρὸς τοὺς μοναχοὺς τῆς Αἰγύπτου ἐπιστολῇ, εἰς ὑμᾶς ἀφίκοντο χαλεποί, καὶ περινοστοῦσί τινες, τὴν ἁπλῆν ὑμῶν παραλύοντες πίστιν, καὶ ῥημάτων εἰκαίων ὑποπτύοντες ὄχλον, ἀποπυνθανόμενοί τε καὶ λέγοντες τὴν ἁγίαν Παρθένον Μαρίαν πότερόν ποτε Θεοτόκον, ἢ μὴ κατονομάζεσθαι χρή . . . ἐθαύμασα τοίνυν, εἴπερ ὅλως ἐνδοιάζουσί τινες πότερον Θεοτόκος, ἢ μὴ λέγοιτ' ἂν ἡ ἁγία Παρθένος. Εἰ γάρ ἐστι Θεὸς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, πῶς οὐ Θεοτόκος ἡ ἁγία Παρθένος; » (²). Ἐν τῇ ἐπιστολῇ ταύτῃ οὐκ ἐποιήσατο μνείαν τοῦ ὀνόματος τοῦ Νεστορίου, εἰ καὶ αἱ βλάσφημοι δοξασίαι, ἃς ἀνεσκεύαζε, περιείχοντο ἐν δυσὶν αὐτοῦ λόγοις. Ἡ ἐγκύκλιος αὕτη ἐπιστολὴ ἐστάλη εἰς Κωνσταντινούπολιν ἐκ τῶν ἐρήμων τῆς Αἰγύπτου· ὁ δὲ Νεστόριος ὑπέλαβεν αὐτὴν ὡς προσωπικὴν ὕβριν καὶ ἀπόπειραν κατὰ

μόνευσε τῷ 434 Ἀλέξανδρος ὁ Ἱεραπόλεως ἐπιστ. 46 πρὸς Ἀκάκιον τὸν Βεῤῥοίας.

γ΄] Αἱ ἑρμηνεῖαι εἰς τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον, εἰς τὸν Ἡσαΐαν, καὶ εἰς τοὺς 12 μικροὺς προφήτας. Ἐν τῷ πρώτῳ τῶν συγγραμμάτων τούτων οὐδὲ λέξις ἀπαντᾷ περὶ τοῦ Νεστορίου.

δ΄] Ἡ βίβλος τῶν θησαυρῶν, ἢ 35 λόγοι περὶ τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος καὶ περὶ τῆς ἐνανθρωπήσεως. Τὰ συγγράμματα ταῦτα ἐγράφησαν ἓν παρ' ἓν ἄνευ ὑπαινιγμοῦ περὶ τοῦ Νεστορίου. ἐνῷ ἐν τῷ η΄ καὶ θ΄ Διαλ. (περὶ ἐνανθρωπήσεως) ὁ Κύριλλος ἔχει ὑπ' ὄψει τὰς δοξασίας τοῦ Νεστορίου (σελ. 680), μόλις ἀρξαμένας διαδίδοσθαι. Ἡ σιωπὴ περὶ τῆς διδασκαλίας τοῦ Νεστορίου ἐν τοῖς ἀπαριθμηθεῖσι συγγράμμασίν ἐστι τρανὴ ἀπόδειξις τοῦ χρόνου, καθ' ὃν ἐγράφησαν, ἰδίως δέ, διότι ἐν τοῖς μετὰ τὸ 428 συγγραφεῖσι καταπολεμεῖ τὸν αἱρετικὸν τοῦτον.

(¹) Τ. 6. σελ. 22.

(²) Τ. 5. Labbaei Concil. collat. T. 3. p. 19.

τῆς εἰρήνης ὅλης τῆς Ἐκκλησίας. Ὑπὲρ τοῦ Νεστορίου συνέστη μερίς. Ὁ δὲ Κύριλλος ἔγραψε πρὸς αὐτόν: « . . . οὐ γὰρ πρότερον ἐμῆς γραφείσης ἐπιστολῆς ὁ ἐπὶ τῇ πίστει γέγονε θόρυβος, ἀλλ' ἢ εἰρημένων τινῶν παρὰ τῆς σῆς Θεοσεβείας, ἢ καὶ μή. Πλὴν χαρτίων, ἤγουν ἐξηγήσεων περιφερομένων, κάμνομεν ἡμεῖς, ἐπανορθοῦν θέλοντες τοὺς διεστραμμένους. Ἐγγὺς γὰρ γεγόνασί τινες τοῦ μὴ ἀνέχεσθαι λοιπὸν ὁμολογεῖν, ὅτι Θεός ἐστιν ὁ Χριστός· ὄργανον δὲ μᾶλλον καὶ ἐργαλεῖον Θεότητος, καὶ ἄνθρωπος θεοφόρος . . . . ὅτε τοίνυν τὴν ἀνάγκην ἅπασι τοῦ γογγύζειν ὑπενεγκοῦσα ἡ σὴ θεοσέβειά ἐστι, πῶς αἰτιᾶται δικαίως; Τί δέ μου καὶ μάτην καταβοᾷ; Καὶ οὐχὶ μᾶλλον ἐπανορθοῖ τὸν ἑαυτῆς λόγον, ἵνα παύσῃ σκάνδαλον οἰκουμενικόν; Εἰ γὰρ καὶ παρερρύη λόγος, ὡς ἐπὶ λαοῦ τρέχων, ἀλλ' ἐπανορθούσθω ταῖς ἐπισκέψεσι, καὶ λέξιν χαρίσασθαι τοῖς σκανδαλιζομένοις καταξίωσον, Θεοτόκον ὀνομάζων τὴν ἁγίαν Παρθένον· ἵνα θεραπεύσαντες καὶ λελυπημένους, καὶ ὀρθὴν παρὰ πᾶσι δόξαν ἔχοντες, ἐν εἰρήνῃ καὶ ὁμοψυχίᾳ τῶν λαῶν τὰς συνάξεις ἐπιτελῶμεν. Ὅτι δὲ ὑπὲρ τῆς εἰς Χριστὸν πίστεως πάντα ἕτοιμοι παθεῖν ἐσμεν, καὶ δεσμωτηρίων εἰς πεῖραν ἐλθεῖν, καὶ αὐτοῦ τοῦ θανάτου, μὴ ἀμφιβαλλέτω ἡ σὴ θεοσέβεια » (1). Τῇ ἐπιστολῇ ταύτῃ συνῆψεν ὁ θεῖος Πατὴρ καὶ τὰς τὴν Αἴγυπτον ταραξάσας ὁμιλίας (2). Οἱ ὀρθοφρονοῦντες, μαθόντες τὸ ἐν τῇ ἐπιστολῇ ταύτῃ καὶ τῇ Ἐγκυκλίῳ περιεχόμενον, εἶχον πεφυλαγμένως περὶ τὴν πίστιν. Ὁ δὲ Νεστόριος ἀνεσκεύασε τὴν Ἐγκύκλιον ἐπιστολὴν καὶ ἄλλους προὔτρεψε ταὐτὸ ποιῆσαι (3). Ἡ μερὶς αὐτοῦ εὗρεν ἐν τῇ αὐλῇ ὑπερασπιστάς. Ἀλεξανδρεῖς τινες, ἕνεκεν ἐγκλημάτων τῆς Αἰγύπτου ἐξελαθέντες, ἐνεκάλεσαν τῷ Κυρίλλῳ πρὸς τὸν Νεστόριον καὶ τοὺς μεγιστᾶνας τῆς

(1) Ἐπ. πρὸς Νεστόρ. Α'.

(2) Περὶ τούτου ποιεῖται λόγον ἐν τῇ πρὸς Καιλεστῖνον ἐπιστολῇ αὐτοῦ (Mansi Collect. Consil. T. IV. p. 548).

(3) Ἡ πρὸς τὸν Κ. ἐπιστ. τοῦ Ν. ὑπάρχει ἐν τοῖς συγγράμμασι τοῦ ἁγίου Κυρίλλου (Τ. ε' σελ. 25-29), ἐν τοῖς Πρακτ. τῆς ἐν Ἐφέσῳ Συν. (Μέρος Α' κεφ. 9. Mansi T. IV. col. 891 1000), καὶ ἐν τοῖς συγγράμμασι τοῦ Μαρίου Μερκάτορος (ed. Gam. P. II. p. 51-56. ed. Baluz. p. 90-96).

αὐλῆς. Τοῦτο δὲ κατέστησεν ὑπόπτους τὰς πράξεις τοῦ ζηλωτοῦ τῆς ἀληθείας. Τέλος δὲ Δωρόθεος ὁ τῆς ἐν Μοισίᾳ Μαρκιανουπόλεως ἐπίσκοπος ἐτόλμησεν ἐξενεγκεῖν δημοσίᾳ ἀνάθεμα κατὰ τῶν λεγόντων Θεοτόκον τὴν ἁγίαν Παρθένον. Ἐντεῦθεν πολλοί, καὶ δὴ καὶ ἐκ τῶν γερουσιαστῶν, ἀπεχωρίσθησαν φανερῶς τοῦ Νεστορίου (1). Ὁ αἱρετικὸς οὗτος ἀπεκρίνατο τῷ ἁγίῳ Κυρίλλῳ, ὅτι ἐξ οὐδενὸς τρόπου βούλεται εἶναι αὐτὸν κριτὴν αὐτοῦ (2). Ἐν δὲ τῇ Κωνσταντινουπόλει ἠνάγκαζε παντὶ τρόπῳ τὸν λαὸν κοινωνεῖν αὐτῷ (3).

Τῷ 430 προὔτρεψεν ἅπαξ ἔτι ὁ θεσπέσιος Κύριλλος τὸν Νεστόριον καταλιπεῖν τὰς ἀσεβεῖς αὐτοῦ δοξασίας, ἐκθεὶς λαμπρὰς ὑπὲρ τῆς ὀρθοδόξου διδασκαλίας ἀποδείξεις (4). Κατὰ τὸν αὐτὸν δὲ χρόνον ἔστειλε τῷ Αὐτοκράτορι Θεοδοσίῳ, τῇ εὐσεβεῖ Πουλχερίᾳ, καὶ ταῖς ἄλλαις δυσὶν αὐτοῦ ἀδελφαῖς Ἀρκαδίᾳ καὶ Μαρίνῃ τρία βιβλία, δι᾽ ὧν ἀνασκευάζων ἁπάσας τὰς περὶ τῆς ἐνανθρωπήσεως τοῦ Κυρίου πλάνας, ἐξέθηκεν ἄριστα καὶ ἀπέδειξε τὴν ὀρθόδοξον διδασκαλίαν (5). Πρὸς κοινὴν δὲ χρῆσιν ἔγραψε μετ᾽ οὐ πολὺ τὴν κατὰ Νεστορίου δυσφημιῶν πεντάβιβλον ἀντίρρησιν (6). Ἡ μὲν

(1) Βλ. τὰς ἐπιστ. τοῦ Κυρίλλου πρὸς Καιλεστῖνον, Ἰωάννην τὸν Ἀντιοχ. Ἀκάκιον καὶ Ἰουβενάλιον. Ἐπ 9, 11, 12, 14.

(2) Ἐν τοῖς συγγράμμασι τοῦ ἁγ. Κυρίλλου Τ. ε΄ σελ. 21.

(3) Βλ. τὴν Κυρίλλου πρὸς Καιλεστῖνον ἐπιστολὴν καὶ τὸ ὑπομνηστικὸν πρὸς Ποσειδώνιον ἀποσταλέντα παρ᾽ αὐτοῦ εἰς Ρώμην τῶν κατὰ Νεστόριον ἕνεκεν.

(4) Ἐπ. 4.

(5) Τὰ βιβλία ταῦτα ἐπιγράφονται οὑτωσί: πρὸς τὸν εὐσεβέστατον Βασιλέα Θεοδόσιον προσφωνητικὸς περὶ τῆς ὀρθῆς πίστεως τῆς εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, προσφωνητικαῖς ταῖς εὐσεβεστάταις Βασιλίσσαις (δηλ. τῇ Πουλχερίᾳ καὶ ταῖς ἀδελφαῖς αὐτῆς), λόγος δεύτερος προσφωνητικὸς ταῖς εὐσεβεστάταις Βασιλίσσαις περὶ τῆς ὀρθῆς πίστεως, καὶ ὑπάρχουσιν ἐν τοῖς συγγράμμασι τοῦ ἁγ. Κυρίλλου Τ. Α΄ μέρ. Β΄, καὶ ἐν τοῖς Πρακτικοῖς τῆς ἐν Ἐφέσῳ Συνόδου, μέρ Α΄ κεφ. 3-4. (Mans. T. IV. col. 617-80 col. 680-802, et col. 803-84).

(6) Τόμ. ς΄ σελ. 3 καὶ 4. «Καὶ ταῦτά φημι, τινὶ τῶν βιβλίων περιτυχὼν ὑπὸ τοῦ συντεθειμένῳ, καὶ πολλὰς μὲν ἔχοντι τῶν ὁμιλιῶν τὴν

εὐσεβὴς Πουλχερία προσετέθη τῷ Κυρίλλῳ κατὰ τοῦ Νεστορίου καί τινων αὐλικῶν· ὁ δ᾽ Αὐτοκράτωρ ἡγήσατο ὕβριν εἰς ἑαυτόν, διότι ἔγραψεν ὁ θεῖος Πατὴρ ἰδίᾳ ἐπιστολὰς ταῖς ἀδελφαῖς αὐτοῦ (1). Ὁ ὑπέρμαχος τῆς ὀρθοδοξίας ἔγραψε τῷ Πατριάρχῃ τῆς Ρώμης Καιλεστίνῳ πάντα τὰ ἐν Κωνσταντινουπόλει γενόμενα, οἵοις ἐχρήσατο μέτροις κατὰ τῆς αἱρέσεως, καὶ ἐν τῷ ἐπιλόγῳ ὑπεδείκνυ, ὅτι ἀνάγκη ἐνεργῆσαι εὐτόλμως κατὰ τοῦ Νεστορίου (2). Ἐν Ρώμῃ, καί περ ἐπιστείλαντος τοῦ Νεστορίου τῷ Καιλεστίνῳ πρὸ τοῦ Κυρίλλου, Σύνοδος συγκροτηθεῖσα, βάλλει ἀναθέματι τὴν τοῦ Νεστορίου πλάνην, προσεπιβάλλουσα αὐτῷ καὶ ἀκοινωνησίας τὴν ποινὴν καὶ καθαιρέσεως παντελοῦς, εἰμὴ ἐντὸς δέκα ἡμερῶν, ἀφ᾽ ἧς ἂν δέξαιτο τὰ κατ᾽ αὐτοῦ ψηφισθέντα, παλινῳδία ᾄσας, ἀποπτύσειε τὴν αἵρεσιν. Ἡ ἀπόφασις ἐγράφη δι᾽ ἐπιστολῆς πρὸς τὸν Νεστόριον, δι᾽ ἐγκυκλίου ἐπιστολῆς πρὸς τοὺς ἐπισκόπους τῆς Ἀνατολῆς, καὶ μετ᾽ ἐπιστολῆς ἀνεκοινώθη τῷ Κυρίλλῳ, ᾧ ἐνετέλλετο πρᾶξαι πᾶν ὅ,τι ἡγεῖτο ἀναγκαῖον πρὸς κατάπαυσιν τῆς νέας αἱρέσεως (3). Ἐν Ἀλεξανδρείᾳ συνήγειρεν ὁ ἅγιος Κύριλλος ἐξ Αἰγυπτίων ἐπισκόπων Σύνοδον, ἥτις καὶ τὰς πρώτας αὐτοῦ ἐπιστολὰς ἐπεκύρωσε, καὶ τὰ ὑπὸ τοῦ Καιλεστί-

ἄθροισιν, στοιχηδὸν δέ, καὶ ὡς ἐν τάξει κειμένων, ἡμοιρηκόσι δὲ κατ᾽ οὐδένα τρόπον τοῦ κατέχεσθαι δεῖν. Καὶ εἰ μὲν εἴρηταί τι παρὰ τοῦ συγγεγραφότος, ὃ ταῖς εἰς λήθην ἀποδημίαις ἠφανίζετο, κἂν ᾠήθην δεῖν, σιγήν τε ἔχειν αὐτός, καὶ ἑτέροις συμβουλεῦσαι τοῦτο δρᾷν· ὡς ἂν μὴ πολλοῖς ἑτέροις, καὶ τοῖς μεθ᾽ ἡμᾶς εἴη γνώριμα, τὰ οὕτως ἐκτόπως καὶ ἀτημελῶς εἰρημένα». Παραβάλλοντες ταῦτα πρὸς τὰς ἐπιστολὰς αὐτοῦ ε´ καὶ ς´, ἔνθα λέγει διὰ τί ἤρξατο τῆς πρὸς τὸν Νεστόριον διαφορᾶς καὶ οὐ παρέδωκε τῇ λήθῃ τὰς ἀτυχεῖς ὁμιλίας, ὁρῶμεν, ὅτι τὸ κατὰ τοῦ αἱρετικοῦ τούτου σύγγραμμα ἔγραψεν εὐθὺς μετὰ τὰ πρὸς τὸν Αὐτοκράτορα καὶ τὰς ἀδελφὰς αὐτοῦ πεμφθέντα βιβλία, δηλ. πρὸ τῆς ἐν Ἐφέσῳ συγκροτηθείσης Συνόδου, τῷ 430. Τῷ 433 ἐπέμφθη τὸ σύγγραμμα τοῦτο Εὐλογίῳ τῷ πρεσβυτέρῳ καὶ Σουκκένσῳ ἐπισκόπῳ τῆς Διοκαισαρέων τῆς κατὰ τὴν Ἰσαυρίαν ἐπαρχίας.

(1) Βλ. τὴν πρὸς τὸν Κύριλλον ἐπ. τοῦ Θεοδοσίου, καταχωρισθεῖσαν ἐν τοῖς Πρακτ. τῆς ἐν Ἐφ. Συν. μέρ. Ά. κεφ. 31. Mansi T. IV. col. 1101-1106.

(2) Ἐπιστ. θ´ τῷ Π. Καιλεστίνῳ.

(3) Mansi T. IV. col. 1017-22, 1025-50.

νου ψηφισθέντα ἰδιοποιήσατο. Εἶτα δ᾽ ἔστειλε τῷ Νεστορίῳ ἐπιστολήν, εν ᾗ περιείχετο ἡ ἔκθεσις τῆς καθολικῆς πίστεως περὶ τοῦ μυστηρίου τῆς Ἐνανθρωπήσεως. Τῇ ἐπιστολῇ ταύτῃ προσήφθησαν καὶ δώδεκα ἀναθεματισμοί, οἷς κατεδικάζοντο αἱ τῇ ἀληθεῖ περὶ τῆς Ἐνανθρωπήσεως διδασκαλίᾳ ἀντικείμεναι πλάναι (1) [γ]. Ἐπιστείλας δὲ καὶ Ἰουβεναλίῳ τῷ Ἱεροσολύμων καὶ Ἰωάννῃ τῷ Ἀντιοχείας, διεμήνυσεν αὐτοῖς τὰ κατὰ Νεστορίου πεπραγμένα(2)[δ]. Εἰς δὲ τὴν Κωνσταντινούπολιν ἐπέμφθησαν τέσσαρες ἐπίσκοποι ἐγχειρίσοντες τῷ Νεστορίῳ τὰ κατ᾽ αὐτοῦ ἐν Ῥώμῃ καὶ Ἀλεξανδρείᾳ ψηφισθέντα (3). Οὗτος δὲ οὐ μόνον οὐδὲν αὐτοῖς ἀπεκρίνατο, ἀλλὰ καὶ ἐπ᾽ Ἐκκλησίας ἐξεφώνησε λόγον, ἐν ᾧ ἐξετίθεντο διαρρήδην αἱ

---

(1) Ap Vinium de conc. Ephes. P. I p. 151.

[γ] Κατὰ τὸν αὐτὸν χρόνον ἐπέστειλεν ὁ θεσπέσιος Κύριλλος τῷ κλήρῳ καὶ τῷ λαῷ τῆς Κωνσταντινουπόλεως, καὶ τοῖς πατράσι τῶν μοναστηρίων, συμβουλεύων αὐτοῖς τηρεῖν αὐστηρῶς τὴν ὀρθόδοξον πίστιν καὶ μὴ κοινωνεῖν τῷ Νεστορίῳ, εἰμὴ παύσαιτο διαδιδόναι τὴν ἀσεβῆ αὐτοῦ διδασκαλίαν. Ὁ σοφὸς ἱεράρχης ἐκτίθησι πρὸς τοῖς ἄλλοις τίνος ἕνεκεν ἡ ἀπόφασις τῆς ἐν Ῥώμῃ Συνόδου οὐκ ἐξεπληρώθη ταχέως. Τοῦτο, λέγει, ἐγένετο, διότι ἤλπιζεν, ὅτι ὁ Νεστόριος ἀποπτύσει τὰς πλάνας αὐτοῦ ἄνευ τῆς ἀπειλῆς τῆς καθαιρέσεως. «Ἐμιμησάμεθα, ἐπάγει, τοὺς ἰατρικὴν ἔχοντας ἐμπειρίαν, οἳ τὰ ἐν τοῖς σώμασι γινόμενα τῶν παθῶν οὐκ εὐθὺς ταῖς διὰ σιδήρου καὶ πυρὸς ὑποφέρουσιν ἀνάγκαις, ἀλλ᾽ ἠπίοις ἐν ἀρχαῖς φαρμάκοις καταμαλάσσουσι, περιμένοντες τὸν ταῖς τομαῖς πρέποντα καιρόν». (ἐπ. ις´ σελ 79). Ἐν τῇ πρὸς τοὺς Πατέρας τῶν μοναστηρίων ἐπιστολῇ λέγει περὶ ἑαυτοῦ: «Κλαίοντες δὲ διατελοῦμεν, καὶ παρακαλοῦντες τὸν τῶν ὅλων Σωτῆρα Χριστόν, νῦν θραῦσαι τὴν τοῦ διαβόλου παγίδα, καὶ περιελεῖν τῶν ἐκκλησιῶν τὸ σκάνδαλον, καὶ παῦσαι τὰς κατὰ τῆς δόξης αὐτοῦ δυσφημίας» (ἐπ. ιζ´ σ. 80). Σ.Μ.

(2) Ἐπ. ιά, ιδ´.

[δ] Τὸν Πατριάρ. Ἀντιοχ. Ἰωάννην παρακαλεῖ πρὸς τοῖς ἄλλοις ἐπιστεῖλαι οὐ μόνον τῷ λαῷ τῆς Κωνσταντινουπόλεως, ἀλλὰ καὶ αὐτῷ τῷ Αὐτοκράτορι καὶ τοῖς μεγιστᾶσι, καὶ συμβουλεῦσαι αὐτοῖς «μὴ προτιμῆσαι τῆς εἰς Χριστὸν πίστεως ἄνθρωπον, ἀλλὰ χαρίσασθαι τῇ οἰκουμένῃ τὸ βέβαιον εἰς πίστιν ὀρθήν, καὶ ποιμένος ἀπαλλάξαι πονηροῦ τὰ θρέμματα». Σ. Μ.

(3) Ἐπ. ιέ. Mansi T. I. p. 1069.

βλάσφημοι αὐτοῦ δοξασίαι. Τοῦτο ἐγένετο κατὰ τὸν Δεκέμβριον τοῦ 430ου ἔτους [1]. Ὁ Νεστόριος αὐτὸς καὶ ὁ ὀρθόδοξος τῆς Κωνσταντινουπόλεως λαὸς παρεκάλεσαν τὸν Αὐτοκράτορα συναγεῖραι Οἰκουμενικὴν Σύνοδον. Ὁ Θεοδόσιος ἔπεμψεν ἐγκύκλιον ἐπιστολὴν πρὸς ἅπαντας τοὺς Μητροπολίτας τῆς Αὐτοκρατορίας, προσκαλῶν αὐτοὺς συνελθεῖν εἰς Ἔφεσον κατὰ τὴν ἡμέραν τῆς Πεντηκοστῆς τοῦ ἐπιόντος ἔτους, τουτέστι τῇ ζ′ Ἰουνίου τοῦ 431ου ἔτους.

Τῷ Ποιμένι τῆς Ἀλεξανδρείας ἐπῆλθον νῦν οὐκ ὀλίγαι θλίψεις. Ἐν τῇ ἐπιστολῇ, ἣν ἐπέστειλεν αὐτῷ ὁ Θεοδόσιος πρὸς τῇ ἐγκυκλίῳ, σκληρῶς ᾐτιᾶτο αὐτὸν ἐπὶ τῇ ταραχῇ τῶν Ἐκκλησιῶν καὶ τῆς Αὐλῆς. Κατὰ δὲ τῶν ὑπὸ τῆς ἐν Ἀλεξανδρείᾳ Συνόδου ψηφισθέντων ἔγραψαν ὅ τε Νεστόριος καὶ ἄλλοι πολλοί. Εἰ καὶ ὁ Ἀντιοχ. Ἰωάννης γράψας πρὸς τὸν Νεστόριον παρῄνει «τὴν ὑπεραγίαν Παρθένον Θεοτόκον ὀνομάζειν μὴ παραιτεῖσθαι», ἔπεισε δὲ αὐτὸν ἧττον θρασέως τὰς πλάνας αὐτοῦ ἐκτιθέναι [2], ἐν τοσούτῳ ὁ Νεστόριος προήχθη γράψαι δώδεκα ἀναθεματισμοὺς κατὰ τῶν ἀναθεματισμῶν τοῦ ἁγίου Κυρίλλου, οἵτινες, κατ᾽ αὐτόν, ἀνενέουν τὰς πλάνας τοῦ Ἀπολιναρίου καὶ τοῦ Ἀρείου [3]. Ἐν ταῖς Ἐκκλησίαις τῆς Συρίας οὐ καθαρῷ οὐδ᾽ ἀθολώτῳ τῆς διανοίας βλέμματι πρὸς τὰ Κυρίλλου Κεφάλαια ἀπεῖδον, καὶ περὶ τῆς εἰλικρινείας αὐτοῦ ἀμφέβαλλον, καὶ πρὸς τὸν ἀνεψιὸν τοῦ Θεοφίλου εἶχον πάνυ ὑπόπτως [4]. Ἀνδρέας ὁ Σαμοσάτων [5] καὶ Θεοδώρητος ὁ Κύρου [6] ἐν οἷς συνετά-

(1) Πρακτ. τῆς ἐν Ἐφ. Συνόδ. Μ. Β′ πράξ. ά. Mansi T. IV. p. 1179.

(2) Τοῦτο δεικνῦσιν ἡ ιγ′ ὁμιλία τοῦ Νεστορίου καὶ αἱ πρὸς τὸν Ἰωάννην ἐπιστ. αὐτοῦ. Mans. T. V. p. 752-53.

(3) Παρὰ Μ. Μερκάτορι λατιν. ed. Baluz. p. 142. Bin. Concil. Ephes. c. 29.

(4) Ἰωάννης ὁ Ἀντιοχείας ἔγραφε τῷ Νεστορίῳ μὴ ἐκπλήττεσθαι ἐπὶ τῇ ἀλαζονείᾳ τοῦ Αἰγυπτίου, ἧς τοσαῦτα κακὰ παραδείγματα καὶ πρότερον εἶδε. Κατὰ τὸν αὐτὸν χρόνον ὁ αὐτὸς ἔγραφε πρὸς Φίρμον τὸν Καισαρείας Ἀρχιεπίσκοπον πάνυ πεφυλαγμένως κατὰ τῶν πράξεων τοῦ Κυρίλλου. Ἐν τῷ τέλει τῆς ἐπιστολῆς, κατ᾽ ἀρχαῖον ἀπόγραφον, προσετέθη: «Idem vero Iohannes multis Archiepiscoporum legitur scripsisse similia». Mansi T. V. p. 756. Βλ. καὶ ἐπιστ. ριβ′ Θεοδωρήτου.

(5) Λατιν. παρὰ Μερκάτορι p. 220.

(6) Τ. ς′ σελ. 60.

ξαντο ἀντιρρητικοῖς κατὰ τῶν Κεφαλαίων, ἢ Ἀναθεματισμῶν τοῦ ἁγίου Κυρίλλου, κατέγνωσαν αὐτοῦ ἀπολιναρισμόν.

§. 213. Πράξεις ἐν τῇ Συνόδῳ καὶ τὸ λοιπὸν τοῦ βίου.

Κατὰ τὸν ὁρισθέντα πρὸς συγκρότησιν τῆς Συνόδου χρόνον ἀφίκοντο εἰς Ἔφεσον ὁ Νεστόριος, ὁ ἅγιος Κύριλλος, οἱ ὑπ' αὐτοὺς ἐπίσκοποι, καὶ ὁ ἀντιπρόσωπος τοῦ Αὐτοκράτορος κόμης Κανδιδιανός. Οἱ δὲ τοῦ Πάπα πρεσβευταὶ καὶ ὁ Ἀντιοχείας Ἰωάννης μετὰ τῶν Σύρων ἐπισκόπων οὔπω ἦσαν ἐκεῖ. Πρὸ τῆς ἐνάρξεως, ἕως ἐσχόλαζον καὶ νέοι ἐπίσκοποι καθ' ἑκάστην ἀφικνοῦντο, οἱ παρόντες ἐπίσκοποι διελέγοντο περὶ τῆς Θεομήτορος, ἔνιοι καὶ πρὸς αὐτὸν τὸν Νεστόριον περὶ τούτου συνεζήτουν, ὁ δὲ Κύριλλος ἐποιεῖτο ἐκλογὰς ἐκ τῶν συγγραμμάτων τοῦ Νεστορίου (1). Ἡ Σύνοδος, περιμείνασα ἐπὶ 16 ἡμέρας εἰς μάτην τὴν ἄφιξιν τῶν Σύρων ἐπισκόπων, ἤρξατο τῶν συνεδριάσεων (2), προεξάρχοντος αὐτῆς τοῦ Ποιμένος τῆς Ἀλεξανδρείας. Ὁ Νεστόριος (3) προσεκλήθη τρὶς εἰς τὴν Σύνοδον, ἀλλ' οὐκ

---

(1) Βλ. Liberati diaconi Brev. c. V. (Galland. T. XII. p. 128): «Cyrillus deflorationes quasdam librorum Nestorii faciebat». Σωκρ. ζ' 34.

(2) Τῷ Ἀντιοχείας Ἰωάννῃ ἀδύνατον ἦν ἀφικέσθαι εἰς Ἔφεσον κατὰ τὴν ὁρισθεῖσαν ἡμέραν. Οἱ Σύροι ἐπίσκοποι, λαβόντες τὴν διαταγὴν τοῦ ἀναχωρῆσαι ἐκ τῶν ἐπαρχιῶν μετὰ τὸ Πάσχα, καὶ διὰ τὴν ἀπὸ τῆς Αντιοχείας, πολλῷ δὲ μᾶλλον ἐκ τῆς Ἐφέσου, μακρὰν ἀπόστασιν, καὶ δι' ἴδια περιστατικὰ ἐπαρχιῶν τινων, οὐδαμῶς ἠδύναντο συνελθεῖν ἅπαντες εἰς Ἔφεσον καὶ ἐντὸς ἑβδομάδος μετὰ τὴν Πεντηκοστήν. Τοῦτο βεβαιοῦσιν ὁ Εὐάγριος (α' 3, 4), ὁ Φακοῦνδος (de trib. cap. VII. 2), ὁ Π. Ἰωάννης (Mans. T. IV. p. 1121) καὶ οἱ ἐπίσκοποι αὐτοῦ (αὐτόθ. p. 1272, 1277). Ὁ ποιμὴν τῆς Ἀλεξανδρείας ἐποιήσατο ἔναρξιν τῶν συνεδριάσεων ἐπ' ἴσης ἐξ ἀνάγκης. Οἱ αἰγύπτιοι ἐπίσκοποι, ἀφικόμενοι εἰς Ἔφεσον πέντε ἡμέρας πρὸ τῆς Πεντηκοστῆς, ἠσθένησαν τὸ μὲν ἕνεκα τῶν κατὰ τὸν πλοῦν κακουχιῶν, τὸ δὲ ἕνεκα τῆς ἀπορίας τῶν ἐπιτηδείων, ἐντεῦθεν δὲ ἤτουν ἐπιμόνως τὴν ἔναρξιν τῶν συνεδριάσεων. Mans. T. IV. p. 1427. Ἀπολογ. τοῦ ἁγ. Κυρίλλου πρὸς τὸν Θεοδόσιον ap. Mans. T. V. p. 241.

(3) Ἐν ταῖς πρὸς τοὺς ἐπισκόπους διαλέξεσιν αὐτοῦ κατέδειξε τὰς δυσσεβεῖς αὐτοῦ δοξασίας.

ἐνεφανίζετο, προβαλλόμενος τὴν ἀπουσίαν τῶν Σύρων ἐπισκόπων. Τότε, μετὰ τὴν ἀνάγνωσιν τοῦ Συμβόλου τῆς Νικαίας, ἀνεγνώσθησαν ἡ πρὸς τὸν Νεστόριον δευτέρα ἐπιστολὴ τοῦ Κυρίλλου, ἡ πρὸς αὐτὸν ἐπιστολὴ τοῦ Καιλεστίνου, ἡ τρίτη πρὸς αὐτὸν ἐπιστολὴ τοῦ Κυρίλλου, ἡ δευτέρα ἐπιστολὴ αὐτοῦ πρὸς τὸν Κύριλλον, ἐπ' ἴσης αἱ ὑπὸ τοῦ Κυρίλλου γενόμεναι ἐκλογαὶ ἐκ τῶν συγγραμμάτων τοῦ Νεστορίου, καὶ αἱ κατὰ τῶν δυσσεβῶν αὐτοῦ δοξασιῶν συλλεγεῖσαι μαρτυρίαι τῶν Πατέρων. Ἁπάντων τούτων ἀναγνωσθέντων ἐξηνέχθη ἡ κατὰ τοῦ Νεστορίου ἀπόφασις τῆς τε καθαιρέσεως καὶ τοῦ ἀναθεματισμοῦ [1]. Τούτου γενομένου, ὁ φίλος τοῦ Νεστορίου κόμης Κανδιδιανὸς ἀπέστειλε κατὰ τῆς Συνόδου διαμαρτύρησιν τῷ Αὐτοκράτορι, ὅστις ἕνεκα τούτου ἐκώλυσε τὰς ἐργασίας αὐτῆς [2]. Τῇ κη' Ἰουνίου ἀφίκετο εἰς Ἔφεσον ὁ Ἀντιοχ. Ἰωάννης μετὰ τῶν Σύρων ἐπισκόπων. Οὐ πολλοῦ χρόνου χρεία ἦν, ἵνα αἱ κατὰ τοῦ Κυρίλλου πρότεραι ἀμφιβολίαι τοῦ Ἰωάννου, ταῖς προτροπαῖς τῶν πρὸς τὸν Νεστόριον εὐνοϊκῶς διακειμένων, (τοιοῦτοι δ' ἦσαν καὶ ἔνιοι τῶν Σύρων ἐπισκόπων καὶ δέκα τῶν ὑπὸ τὸν Νεστόριον), καὶ ταῖς εἰσηγήσεσι τοῦ στρατηγοῦ Εἰρηναίου, φίλου ὄντος τῷ Νεστορίῳ, προβῶσι νῦν μέχρι φανερᾶς στάσεως κατὰ τοῦ θεσπεσίου Κυρίλλου. Ὁ Ἰωάννης ἠρνήσατο μετασχεῖν τῶν συνεδριάσεων τῆς Συνόδου, καὶ παραχρῆμα συνήγειρεν ἰδίαν σύνοδον ἐκ τριῶν καὶ τεσσαράκοντα ἐπισκόπων, ἐν ᾗ οἱ μὲν ἀναθεματισμοὶ τοῦ Κυρίλλου ἐκηρύχθησαν αἱρετικοί, αὐτὸς δὲ καὶ Μέμνων ὁ Ἐφέσου καθυπεβλήθησαν καθαιρέσει, ὡς παραβάται τῶν τε ἐκκλησιαστικῶν καὶ τῶν αὐτοκρατορικῶν διατάξεων. Περὶ δὲ τοῦ Νεστορίου οὐδὲν ἐρρέθη. Τῇ ι' Ἰουλίου ἀφίκοντο οἱ τοῦ Πάπα πρεσβευταί. Ἡ κατὰ τοῦ Νεστορίου ἐξενεχθεῖσα ἀπόφασις ἐπανελήφθη ἐν τῇ Συνόδῳ, ὑπερασπισάσῃ τὸν Κύριλλον, καί, ὅτε ὁ Ἀντιοχείας Ἰωάννης ἠρνήσατο δηλῶσαι τὰ ἐγκλήματα, δι' ἃ κατεκρίθησαν ὁ Κύριλλος καὶ ὁ Μέμνων, τότε ἀμφότεροι οἱ ποιμένες ἐκηρύχθησαν ὑπὸ τῆς

(1) Τὰ πρωτόκολλα τῆς Συνόδου ap. Binium in P. II. Concil. Ephes. p. 168-222. ap. Mans. T. IV. p. 1123, 1227. V. p. 531. Εὐάγρ. α'. 4. Σωκρ. ζ'. 34.

(2) Ἡ διαμαρτύρησις τοῦ Κανδιδιανοῦ ap. Mans. T. V. p. 770. IV. p. 1259.

Συνόδου ἐλεύθεροι τῶν κατ᾽ αὐτῶν ἀποφασισθέντων. Ἡ σύνοδος τοῦ Ἰωάνου κατεδικάσθη. Τέλος δὲ προσετέθη ἡ κατάκρισις τῶν Πελαγιανῶν (¹). Ὁ Αὐτοκράτωρ οὐκ ἐλάμβανεν ἄχρι τοῦ νῦν ἀκριβεῖς εἰδήσεις περὶ τῶν κατὰ τὴν Σύνοδον, τοῦ Κανδιδιανοῦ κωλύοντος παντὶ τρόπῳ τοὺς προμάχους τῆς ὀρθοδόξου πίστεως δηλῶσαι τῷ Αὐτοκράτορι τὰς πράξεις αὐτῶν. Μόνον ὁ αὖθις πεμφθεὶς ὑπὸ τοῦ Αὐτοκράτορος Μαγιστριανὸς Παλλάδιος κατέστησεν αὐτῷ γνωστὰ τὰ ἐν Ἐφέσῳ γενόμενα. Περικυκλούμενος δ᾽ ὑπὸ πολυμηχάνων ἀνθρώπων, εὐνοϊκῶς διακειμένων πρὸς τὸν Νεστόριον, ἐταλαντεύετο τὴν γνώμην. Πλῆθος μοναχῶν, ὧν ἡγεῖτο ὁ ἅγιος Δαλμάτιος, παρέστη αὐτῷ δεόμενον ὑπὲρ τῆς κατὰ τοῦ Νεστορίου Συνόδου. Ἐκ τούτου ὑπέσχετο προστασίαν· ἀλλ᾽ οἱ ὑπουργοὶ αὐτοῦ κατώρθωσαν ῥᾳδίως μεταβαλεῖν τὴν γνώμην αὐτοῦ (²). Νέος πληρεξούσιος ἀπεστάλη εἰς Ἔφεσον σπουδάσων συνδιαλλάξαι τὰς ἀντιμαχομένας μερίδας, τὸν δὲ Κύριλλον καὶ τὸν Μέμνονα, ὡς καὶ τὸν Νεστόριον, καθείρξων. Ἐντεῦθεν, εἰ ὁ θερμὸς τῆς Ἀλεξανδρείας ποιμὴν ἐν ταῖς σχέσεσιν αὐτοῦ ἦν τι ἄδικος εἴς τινας, ὡς τοῦτο ἐνεκάλουν αὐτῷ πολλοί, ὁ Κύριος ἔπεμψε νῦν αὐτῷ διὰ τὸν πρὸς τὴν ἀλήθειαν ζῆλον ἐξιλαστήριον μέσον. Ἡ κατ᾽ αἴτησιν τῆς Συνόδου ὑπὸ τοῦ Κυρίλλου γραφεῖσα ἐπίλυσις τῶν δώδεκα κεφαλαίων, τὰ σχόλια περὶ τῆς Ἐνανθρωπήσεως τοῦ Μονογενοῦς, καὶ ὁ ἀπολογητικὸς ὑπὲρ τῶν δώδεκα κεφαλαίων πρὸς τοὺς τῆς Ἀνατολῆς ἐπισκόπους οὐ κατεπράϋναν τοὺς πρὸς αὐτὸν ἐπαχθῶς ἔχοντας (³). Ἀδύνατον ἦν διαλλαγῆναι ἀλλήλοις τοὺς

(¹) Ap. Mans. Act. 3-5. T. IV. p. 1275-1378.

(²) Τότε ἀφίκετο εἰς Κωνσταντινούπολιν ὁ στρατηγὸς Εἰρηναῖος, ὅς ἐξέθηκε τῷ Αὐτοκράτορι οὐκ ἀληθῶς τὰ ἐν Ἐφέσῳ γενόμενα. Ἐκ τούτου δὲ μικροῦ δεῖν ἐλάμβανον τὰ πράγματα κακίστην τροπὴν ὡς πρὸς τὸν Κύριλλον. Εὐτυχῶς δὲ ἐγχειρίσαντος τοῦ ὑπὸ τοῦ Κυρίλλου ἀποσταλέντος εἰς Κωνστ]πολιν Ἰωάννου τῷ Αὐτοκράτορι τὰ πρακτικὰ τῆς κατὰ τοῦ Νεστορίου Συνόδου, αἱ γνῶμαι τῶν ὑπουργῶν διῃρέθησαν.

(³) Ἐν τῇ ἐπιγραφῇ τῆς ἐπιλύσεως τῶν δώδεκα Κεφαλαίων εἴρηται, ὅτι ἀνεγνώσθη αὕτη τότε, ὅτε ἡ Σύνοδος ἠξίωσε τὸν Κύριλλον σαφέστερον αὐτοῖς ἐκτρανωθῆναι τὴν τούτων λύσιν. Οἱ Σύροι ἐπίσκοποι ἀπέστει-

ἐρίζοντας, τοῦ νέου πληρεξουσίου τοῦ Αὐτοκράτορος κόμητος Ἰωάννου οὐ προσενεχθέντος, ὡς ἔδει, τοῖς προμάχοις τῆς ὑγιαινούσης διδασκαλίας. Τέλος, κατὰ παράκλησιν τοῦ κλήρου τῆς Κων]πόλεως καὶ κατ' εἰσήγησιν τῆς εὐσεβοῦς Πουλχερίας, διέταξεν ὁ Αὐτοκράτωρ, ἵνα ἀμφότεραι αἱ σύνοδοι πέμψωσιν αὐτῷ εἰς Χαλκηδόνα πρέσβεις. Ὁ ἅγιος Κύριλλος ἀπέστειλε τότε διὰ τῶν πρέσβεων αὐτοῦ τῷ Θεοδοσίῳ τὸν πρὸς αὐτὸν ἀπολογητικὸν αὐτοῦ ([1]). Ἀκροασάμενος ἐνιαχοῦ ὁ Αὐτοκράτωρ τῶν πρέσβεων, κατενόησεν, ὅτι ὅτε Κύριλλος καὶ ὁ Μέμνων ἦσαν ἀθῶοι, καὶ ἐνετείλατο τοῖς Πατράσι τῆς Συνόδου τοῦ Ποιμένος τῆς Ἀλεξανδρείας ἐκλέξαι νέον ἐπίσκοπον Κωνσταντινουπόλεως. Ὁ δὲ Κανδιδιανὸς καὶ ὁ Εἰρηναῖος ἐξέπεσον τῆς εὐνοίας τοῦ Αὐτοκράτορος. Ὁ μέγας τῆς ὀρθοδοξίας ὑπερασπιστὴς Κύριλλος ἀφίκετο τῇ ιθ' Ὀκτωβρίου εἰς Ἀλεξάνδρειαν, ἔνθα ὑπεδέξατο αὐτὸν τὸ ποίμνιον αὐτοῦ μετ' ἄκρας χαρᾶς ([2]). Τῷ ἐπιόντι ἔτει ἔστειλε τῷ Αὐτοκράτορι μετὰ προσφωνήματος τὸ ἑαυτοῦ σύγγραμμα ὑπὲρ τῆς τῶν Χριστιανῶν εὐαγοῦς θρησκείας πρὸς τὰ τοῦ ἐν ἀθέοις Ἰουλιανοῦ ([3]).

λαν ταύτην τὴν ἐπίλυσιν εἰς Κωνσταντινούπολιν μετὰ τῶν ἑαυτῶν σημειώσεων. Βλ. τὴν ἐπιστολὴν αὐτῶν ap. Mans. T. IV. p. 1419. Ἀναστάσιος ὁ Σιναΐτης παράγει ἐν χωρίον ἐν Ὁδηγ. (σελ. 154 ed. Migne) ἐκ τῶν σχολίων περὶ τῆς Ἐνανθρωπήσεως τοῦ Μονογενοῦς. Ὁ ἀπολογητικὸς ὑπὲρ τῶν δώδεκα Κεφαλαίων πρὸς τοὺς τῆς Ἀνατολῆς ἐπισκόπους ὑπάρχει ἐν τοῖς Πρακτ. τῆς Συνόδ. ap. Binium P. III. Concil. Ephes. c. 1-5, καὶ ἐν τοῖς συγγράμμασι τοῦ ἁγ. Κυρίλλου T. IV. 5. Τὰ σχόλια περὶ τῆς Ἐνανθρωπήσεως τοῦ Μονογενοῦς, τὰ νῦν ἑλληνιστὶ γνωστὰ οὐκ εἰσὶ πλήρη. Πλήρη δὲ διεσώθησαν ἐν τῇ ἀρμεν. μεταφράσει τοῦ κατὰ τὸν η' αἰῶνα ἀκμάσαντος ἐπισκόπου Στεφάνου. Neumann Gesch. d. Armen. Litterat. S. 111, 112.

([1]) In Mans. Collect. amplissim. concil. T. V. p. 248-257.

([2]) Act. Concil. Ephes. P. III. c. 14. Mans. T. V. collect. 255-256.

([3]) Ἐν τῷ προσφωνήματι ἐπαινέσας τὴν διαδοχικὴν εὐσέβειαν τοῦ Θεοδοσίου, ὑπομιμνήσκει αὐτὸν τὰς κατὰ τοῦ Νεστορίου πράξεις αὐτοῦ. «Ἀξιάγαστα μέν, λέγει, καὶ ἐξαίρετα, καὶ πέρα λόγου παντὸς τὰ τῆς εὐαγοῦς ὑμῶν βασιλείας κατορθώματα, καὶ τὸ ἀσύγκριτον εἰς εὐσέβειαν, ὥσπερ τινὰ κλῆρον εἰς ὑμᾶς ἄνωθεν καταβαίνοντα, τοῖς ἐκ φθόνου βέλε-

Ἐπειδὴ αἱ ἀμοιβαῖαι ἀμφισβητήσεις καὶ δυσαρεστήσεις τῶν σύρων καὶ ἀλεξανδρέων ἐπισκόπων οὐκ ἐπαύσαντο[ε], σύνοδος ἐν Κωνσταντινουπόλει συγκροτηθεῖσα, κατ᾽ ἐντολὴν τοῦ Αὐτοκράτορος, διεσκέπτετο περὶ τῶν πρὸς κατάπαυσιν αὐτῶν ληπτέων μέσων. Ὁ δ᾽ Αὐτοκράτωρ ἔπεμψεν εἰς Ἀντιόχειαν (κατὰ τὸν Ἀπρίλιον τοῦ 432) τὸν χιλίαρχον Ἀριστόλαον, ἵνα πείσῃ τὸν Ἰωάννην διαλλαγῆναι πρὸς τὸν Κύριλλον καὶ ἀποδέξασθαι τὰς ἀποφάσεις τῆς Συνόδου τῆς Ἐφέσου. Μετά τινας συζητήσεις τῶν σύρων ἐπισκόπων πρὸς τὸν ποιμένα τῆς Ἀλεξανδρείας ἐξέλιπον αἱ ἀμφισβητήσεις. Ὁ Πατριάρχης Ἰωάννης ἀπεκήρυξε τὸν Νεστόριον τῆς τῶν εὐσεβούντων μοίρας καὶ σύναμα ἀπεφήνατο, ὅτι ἀδίκως κατέκρινε πρότερον τὴν τοῦ Κυρίλλου διδασκαλίαν. Ὁ δ᾽ ἅγιος Κύριλλος ἀνωμολόγησεν ὀρθόδοξον τὴν ὑπὸ τῶν σύρων ἐπισκόπων ἔτι ἐν Ἐφέσῳ ἐκτεθεῖσαν διδασκαλίαν, καὶ οὕτω τῷ 433 ἀποκατεστάθη ἡ ἀδελφικὴ ἕνωσις (¹). Ἡ πρὸς τὴν εἰρήνην ἀγάπη ἀπεκάλυψε νῦν τοὺς μέχρι δεῦρο, κατὰ τὸ φαινόμενον, ἐνεργοῦντας ἐκ μόνης τῆς πρὸς τὴν ἀλήθειαν καὶ τὸ δίκαιον ἀγάπης. Ἔνιοι τῶν σύρων ἐπισκόπων ἐκήρυξαν ἑαυτοὺς ὑπερασπιστὰς τοῦ Νεστορίου, καὶ ἐντεῦθεν ἀξίους τῆς ἐν Ἐφέσῳ ἐξενεχθείσης καταδίκης. Ἐν Αἰγύπτῳ τὸ εἰρηνικὸν τοῦ Κυρίλλου ἐπ᾽ ἴσης ἐνέβαλέ τισι φόβον, νομίζουσιν, ὅτι παρεχωρήθη τι ταῖς ἀνθρωπίνοις παρακλήσεσιν, οὐχὶ δὲ τῇ ἀληθείᾳ. Ἐντεῦθεν ὤφειλεν ὁ θεῖος Πατὴρ καταπραΰναι τοὺς ζηλωτὰς τῆς ἀληθείας (²).

σιν ἀκίνητον τετηρήκατε. Διὰ τὸ ἐφ᾽ ἅπασι τοῖς ἀρίστοις δεξιόν, καὶ πατρῷον ὑμῖν, καὶ ἔτι παππῷον, ὡς ἔν γε τούτοις ὁρᾶται διαφανές».

[ε] Ὁ Ἀντιοχείας Ἰωάννης οὐκ ἐβούλετο ἀποδέξασθαι τὰς ἀποφάσεις τῆς Συνόδου καὶ τὰς ὑπὸ τοῦ Αὐτοκράτορος πρὸς αὐτὸν δοθείσας συμβουλάς, ὅπως διαλλαγῇ τῷ Κυρίλλῳ, καὶ τὸν ἀντὶ τοῦ Νεστορίου ἐκλεγέντα Πατριάρχην Κωνσταντινουπόλεως Μαξιμιανὸν κατέκρινεν. Ἐπανελθὼν δ᾽ οἴκαδε, κατεδίκασεν ἐκ δευτέρου ἐν δυσὶ συνόδοις, συγκροτηθείσαις ἐν Ἀντιοχείᾳ καὶ Ταρσῷ, τὸν ἅγιον Κύριλλον καὶ τοὺς χειροτονήσαντας τὸν Μαξιμιανὸν ἐπισκόπους. Ἐπέστειλε δὲ καὶ τῷ Αὐτοκράτορι ποιήσασθαι ἐκ ποδῶν τὴν διδασκαλίαν τοῦ ἁγίου Κυρίλλου (Fleury Hist. Eccles. T. 26. p. 362). Σ. Μ.

(¹) Βλ. τὴν ἀλληλογραφίαν ap. Mansi T. V. p. 303. Synod. c. 17. Walch Kezer-Hist. th. V. s. 579-619.

(²) Ἐπὶ τούτῳ ἔγραψε τὰς πρὸς

Καί περ ὑπὸ τοσούτων καὶ τηλικούτων μεριμνῶν καὶ θλίψεων κατεχόμενος (1), ὅμως εὕρισκεν τοσοῦτον χρόνον καὶ τοσαύτας δυνάμεις, ὥστε γράφειν ἔτι ἑρμηνείαν εἰς τὸ Σύμβολον τῆς Νικαίας, περὶ τῆς ἁγίας καὶ ζωοποιοῦ Τριάδος, περὶ τῆς τοῦ Κυρίου ἐνανθρωπήσεως (2), ἐξήγησιν εἰς τὸ κατὰ Λουκᾶν Εὐαγγέλιον (3), καὶ βιβλίον κατὰ ἀνθρωπομορφιτῶν, οἷοι ἀνεφάνησαν ἐπ' αὐτοῦ ἔνιοι τῶν ἐπὶ τοῦ ὄρους Καλαμῶνος διατριψάντων μοναχῶν (4).

Τῷ 444 ὁ τῆς ὀρθῆς καὶ ἀμωμήτου πίστεως συνήγορος (5) ἐξεδήμησε πρὸς Κύριον ἰθύνας ἐπὶ τριάκοντα καὶ δύο ἔτη τὴν Ἐκκλησίαν τῆς Ἀλεξανδρείας [ε].

Ἀκάκιον, Εὐλόγιον, Βαλεριανόν, καὶ Σούκκενσον τὸν Διοκαισαρείας ἐπιστολάς.

(1) Mansi p. 383. Κατὰ τὸν αὐτὸν χρόνον ἐγράφησαν ἕνεκα τῶν περὶ Θεοδώρου τοῦ Μοψουεστίας ἀμφισβητήσεων αἱ ἐπιστολαὶ πρὸς Δόμνον, Ἀκάκιον τὸν Μελιτηνῆς, καὶ Πρόκλον τὸν Κωνσταντινουπόλεως.

(2) Τὰ συγγράμματα ταῦτα ἐξεδόθησαν ὑπὸ Μαΐου T. VIII. p. 27 et 59.

(3) Ἐν τῇ ἐξηγήσει ταύτῃ ἔχει ἤδη ὑπ' ὄψει τὰς δοξασίας τοῦ Νεστορίου. Λίαν πιθανόν, ὅτι ἐγράφη ἱκανὸν χρόνον μετὰ τὰ ἐν Ἐφέσῳ ψηφισθέντα.

(4) Τὸ κατὰ Ἀνθρωπομορφιτῶν βιβλίον ἐστάλη μετ' ἐπιστολῆς πρὸς τὸν ἐπίσκοπον Καλοσύριον. Ἐν τῇ ἀτυχῇ συνόδῳ τῆς Ἐφέσου ὁ ἐπίσκοπος οὗτος ἔδωκε ψῆφον ὑπὲρ τοῦ Εὐτυχοῦς (Βλ. Πρακτ. τῆς συν. ap. Binium et Manium). Τὸ βιβλίον τοίνυν ἐγράφη ἐν τῷ τέλει τοῦ βίου τοῦ Κυρίλλου. Τοῦτο δείκνυσι καὶ ἡ λέξις αὐτοῦ.

(5) Οὕτω καλεῖ τὸν Κύριλλον ἡ ἐν Χαλκηδόνι Σύνοδος. Πρ. γ'.

[ε] Εἰ καὶ αἱ περὶ τοῦ βίου τοῦ θεσπεσίου Κυρίλλου εἰδήσεις εἰσὶν οὐ πολλαί, ὅμως ἀδύνατον μὴ εἰδεῖν, ὅτι ὁ ὄντως μέγας οὗτος τῆς Ἐκκλησίας Πατὴρ οὐ μόνον περὶ τοῦ ἑαυτοῦ ποιμνίου ἐμερίμνα, ἀλλὰ καὶ ἦν αὐστηρὸς ἐπόπτης καὶ φύλαξ τῆς καθαρᾶς πίστεως τῆς οἰκουμενικῆς Ἐκκλησίας. Ἐντεῦθεν οὐ θαυμαστόν, εἰ οἱ σύγχρονοι αὐτῷ ἐκκλησιαστικοὶ συγγραφεῖς ἐκάλουν αὐτὸν ἀποστολικὸν ἄνδρα, ποιμένα, ὃς τῇ ἐγρηγορήσει αὐτοῦ νενίκηκε τὰ ὑποδείγματα τῶν πρὸ αὐτοῦ γενομένων (ἐπ. Καιλεστίν. ἐν τοῖς συγγράμμασι τοῦ ἁγ. Κυρίλλου T. έ σελ. 40), ἐνδοξότατον πρόμαχον τῆς ὀρθοδόξου πίστεως καὶ ὁμολογητήν. Prosper. Aquit contra Collat. c. 21. n. 2.

§. 214. Συγγράμματα αὐτοῦ.
Ἑρμηνεία εἰς τὴν ἁγίαν Γραφήν, Ἀπολογία.

Ὁ ἅγιος Κύριλλος ἐγένετο γονιμώτατος συγγραφεύς, καὶ κατέλιπε πολλὰ καὶ ποικίλα συγγράμματα, οἷον ὁμιλίας, πραγματείας, ἑρμηνείας, διαλόγους, ἐπιστολάς. Ταῦτα δύνανται διαιρεθῆναι εἰς Ἑρμηνευτικά, Ἀπολογητικά, Πολεμικὰ ἅμα καὶ δογματικά, καὶ Ἠθικά (¹).

Agatho Pap. ep. I. lecta in Concil. Constant. III. Act. 18. Mansi T. XI. col. 261). Σ. Μ.

(¹) Τὰ συγγράμματα τοῦ ἁγίου Κυρίλλου ἐξεδόθησαν α΄] gr. lat. studiis Auberti, Paris. 1638 s. VII. β΄] epist. gr. lat. a Gallandio in Bibl. T. XIV. γ΄] πολλὰ συγγράμματα οὐκ ἐκδοθέντα ὑπὸ Αὐβέρτου ἐτυπώθησαν ἐν τῇ συλλογῇ τῶν Συνόδων τῇ ἐκδοθ. ὑπὸ Βινίου, Βαλουσίου, καὶ Μανσίου, καὶ ἐν μέρει ὑπὸ τοῦ Γαρνιέρου in Mercatore T. II. Ὁ κατάλογος αὐτῶν, ἀλλ' οὐχ ἁπάντων εὕρηται παρὰ Φαβρ. Bibl. gr. T. VI. p. 385-88. δ΄] Ὁ Ἄγγελος Μάϊος οὐ σμικρὰν παρέσχε τῇ Ἐκκλησίᾳ ὑπηρεσίαν ἐκδοὺς τὰ μέχρις αὐτοῦ ἀνέκδοτα συγγράμματα τοῦ Πατρός: αα] T. IX. classic. Auct. τὴν ἐξήγησιν εἰς τὸ Ἆσμα τῶν ᾀσμάτων. ββ] T. X. Classic. Auct. p. 1-407, 605-613 τὴν ἐξήγησιν εἰς τὸ κατὰ Λουκᾶν Εὐαγγέλιον. Τὸ σύγγραμμα τοῦτο ἐξεδόθη καὶ πρότερον ὑπὸ τοῦ Κορδερίου, ἀλλὰ μόνον λατινιστὶ (Caten. Antverp. 1628). γγ] Τὰς ἐκλογὰς ἐκ τῶν ὁμιλιῶν εἰς τὸ κατὰ Λουκᾶν Εὐαγγέλιον (T. X. Classic. Auct. p. 546, 608. Spicil. Roman. T. X. p. 178). δδ] in tomo VII collect. vet. Auct. τὰ τεμάχια τῆς ἐξηγήσεως εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον. P. I. p. 10, 24, 26. P. II. p. 142-147, ἄλλα τεμάχια παρὰ Φωτ. Ἀνάγν. σκθ΄ παρὰ Φακούνδῳ de trib. cap. II. 7. καὶ ἄλλοις. εε] T. VIII. Script. vet. Auct. περὶ τῆς ἁγίας καὶ ζωοποιοῦ Τριάδος, καὶ περὶ τῆς τοῦ Κυρίου ἐνανθρωπήσεως. ζζ] T. VIII. Script. vet. Auct. τὰς ἐκλογὰς τὰς ὑπὸ Ἀναστασίου καὶ Λεοντίου ἐκ διαφόρων αὐτοῦ συγγραμμάτων γενομένας ε΄] Μετὰ τὸν Μάϊον ἐξέδωκεν ὁ Κράμερος: αα] τὴν ἑρμηνείαν εἰς τὴν πρὸς Ἑβραίους ἐπιστολὴν (Catena Patrum in ep. ad Timoth. Tit. et Hebraeos, Oxon. 1841). ββ] Χωρία ἐκ τῆς ἑρμηνείας εἰς τὴν πρὸς Κορινθίους ἐπιστολὴν (Cat. in. ep. ad Corinth. Oxon. 1841). γγ] Τὴν ἑρμηνείαν εἰς τὸ κατὰ Μάρκον Εὐαγγέλιον, τὴν ἀποδιδομένην

1] Τὸ ἄριστον τῶν ἑρμηνευτικῶν αὐτοῦ συγγραμμάτων ἐστὶν ἡ εἰς τὸ κατὰ Λουκᾶν Εὐαγγέλιον ἑρμηνεία, διαπρέπουσα πρὸς τῇ βραχύτητι ἐπὶ τῇ ἀκριβεῖ τῶν λέξεων τῆς ἁγίας Γραφῆς ἐξηγήσει. Πάνυ ὠφέλιμοί εἰσι καὶ αἱ ἑρμηνεῖαι εἰς τὰς πρὸς Ἑβραίους καὶ πρὸς Κορινθίους ἐπιστολάς. Ἧττον ἀξία λόγου ἐστὶν ἡ ἑρμηνεία εἰς τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον[ζ].

καὶ Βίκτορι τῷ Ἀντιοχείας (Cat. in Evangel. Math. et Marci Oxon. 1840). Ἐκ τῶν ὑπὸ τοῦ Κραμέρου ἐκδοθ. Σειρῶν δῆλον, ὅτι ὁ ἅγιος Κύριλλος ἔγραψε τὴν νῦν ἄγνωστον ἑρμηνείαν εἰς τὴν πρὸς Ρωμαίους ἐπιστολὴν (Caten. in ep. Cathol. p. 17. Oxon. 1838). Ἐνταῦθα ἀναφέρονται ἐπ' ἴσης χωρία ἐξ ἄλλων συγγραμμάτων τοῦ Κυρίλλου, ἐκ τοῦ ιγ' βιβλ. εἰς τὸν Λουκᾶν (Cat. in. ep. ad Corinth. p. 370), ἐκ τοῦ κατὰ Ἰουλιανοῦ ιγ' βιβλίου (Cat. in ep. Cathol. p. 287, 176, 276, 278), ἐνῷ δέκα μόνον τοῦ συγγράμματος τούτου ἐξεδόθησαν ὑπὸ τοῦ Αουβέρτου. Ἄλλα πολλὰ τῶν συγγραμμάτων τοῦ ἁγ. Κυρίλλου οὔπω ἐξεδόθησαν. Βλ. Fabric. Bibl. gr. T. VIII. p. 590-92.

[ζ] Ἡ ἑρμηνεία εἰς τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον διαιρεῖται εἰς δώδεκα βιβλία. Ὁ ἅγιος Κύριλλος ἔγνω γράψαι ἑρμηνείαν εἰς τοῦτο τὸ Εὐαγγέλιον πρὸς ἀνασκευήν, ὡς αὐτὸς λέγει, διαφόρων αἱρετικῶν (Τ. Δ΄ σελ. 5), κατ' ἐξοχὴν δὲ τοῦ Εὐνομίου. Διὰ τῶν πρώτων λέξεων τοῦ Εὐαγγελίου: Ἐν ἀρχῇ ἦν ὁ Λόγος, δείκνυσιν, ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ ἐστι συναΐδιος τῷ Πατρὶ καὶ πρὸ παντὸς χρόνου· περαιτέρω δὲ διὰ τοῦ: ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν δείκνυσι τὴν προσωπικὴν ὕπαρξιν τοῦ Λόγου καὶ τὸ ὁμοούσιον Αὐτοῦ τῷ Πατρί· διὰ δὲ τοῦ: Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεὸν ἀνασκευάζει τὴν ψευδῆ διδασκαλίαν τοῦ Εὐνομίου, ὅτι δῆθεν ἄλλος ὁ ἐσωτερικὸς Λόγος ἐν τῷ Πατρί, καὶ ἄλλος Ἐκεῖνος, Ὃς ἐν τῇ ἁγίᾳ Γραφῇ καλεῖται Υἱός. Οὕτως ἐν ἑκάστῃ ἐννοίᾳ τοῦ στίχου ἢ ἀνασκευάζει τὴν ψευδοδιδασκαλίαν, ἢ βεβαιοῖ τὸ δόγμα τῆς πίστεως. Ἀνασκευάζων κατόπιν καὶ τὰς ἄλλας ἐνστάσεις τοῦ δυσωνύμου Εὐνομίου, στρέφει τὴν προσοχὴν τῶν ἀναγνωστῶν εἰς τὴν χρῆσιν τοῦ ὁριστικοῦ ἄρθρου, λέγων: «ὅτε τὰ ὀνόματα προτασσομένων τῶν ἄρθρων ἡ θεία τίθησι Γραφή, τότε καὶ ἕν τι σημαίνει, ὃ μόνον ἐστὶ κυρίως καὶ ἀληθινῶς, ὁποῖον εἶναι λέγεται· ἄρθρον δὲ οὐ προθεῖσα, γενικωτέραν ποιεῖται κατὰ παντὸς τοῦ σημαινομένου τὴν δήλωσιν, οἷον (ἥξει γὰρ ὁ λόγος καὶ δι' ἐναργοῦς ἀποδείξεως) πολλοὶ καλοῦνται θεοί· ἀλλ' ὅταν

Ἐκ τῶν εἰς τὴν Παλαιὰν Διαθήκην ἑρμηνειῶν ἀξιολογωτάτη ἐστὶν ἡ εἰς τὸ Ἆσμα τῶν ᾀσμάτων· εἶτα δὲ αἱ εἰς τὸν Προφήτην Ἡσαΐαν καὶ εἰς τοὺς ἐλάσσονας Προφήτας. Ἐν τῇ εἰς τὸν Ἡσαΐαν ἑρμηνείᾳ διασαφηνίζεται κατ' ἐξοχὴν ἡ κατὰ γράμμα ἔννοια τῶν λέξεων. Ἐν τοῖς συγγράμμασι περὶ τῆς ἐν Πνεύματι καὶ ἀληθείᾳ προσκυνήσεως καὶ λατρείας [η] καὶ τὰ ἐν Γλαφυροῖς κυρίως ἀποδείκνυται, ὅτι ἐν τῇ Πεντατεύχῳ τοῦ Μωϋσέως προεικονίσθη τὸ μυστήριον τῆς ἐνανθρωπήσεως τοῦ Ἰησοῦ Χριστοῦ καὶ ἡ Ἐκκλησία Αὐτοῦ. Τὴν ὑπόθεσιν καὶ τὴν ἀξίαν τῶν Γλαφυρῶν δείκνυσιν αὐτὸς ὁ συγγραφεύς, γράφων: « Ἐκθησόμεθα δὲ χρησίμως, πρότερον μέν, τὰ ἱστορικῶς πεπραγμένα· διασαφήσαντες δὲ τὰ τοιαῦτα συμμέτρως, καὶ οἵπερ ἐκ τύπου

μετὰ τοῦ ἄρθρου λέγηται ὁ Θεός, τὸν μόνον ὄντα καὶ κυρίως σημαίνει· ἁπλούστερον δέ, καὶ ἄρθρου χωρίς, ἕνα τυχὸν τῶν εἰς τοῦτο κατὰ χάριν κεκλημένων. Καὶ πάλιν ἄνθρωποι πολλοί· ἀλλ' ὅτε μετὰ τοῦ ἄρθρου φησὶν ὁ Σωτήρ, ὁ Υἱὸς τοῦ ἀνθρώπου, ὡς ἐκλελοχισμένον ἀπὸ μυριάδων ἑαυτὸν κατασημαίνει ». Ταῦτα λέγει ὁ θεσπέσιος Κύριλλος πρὸς ἀπόδειξιν, ὅτι ἡ ὀνομασία τοῦ Λόγου τοῦ Θεοῦ ἀνήκει εἰς μόνον τὸν Υἱὸν τοῦ Θεοῦ, καὶ ὅτι οὐκ ὀρθῶς ὁ Εὐνόμιος διακρίνει τὸν λόγον, ἢ τὸν νοῦν τοῦ Θεοῦ, ἀπὸ τοῦ Λόγου τοῦ φανερωθέντος ἐν τῷ Ἰησοῦ Χριστῷ. Λέγει: « Εἰ δὲ προσάξας τὸ ἄρθρον ὁ Εὐαγγελιστὴς ὡς ἕνα καὶ κυρίως ὄντα σημαίνει, βοῶν: Ἐν ἀρχῇ ἦν ὁ Λόγος· τί μάτην φιλονεικοῦσιν ἕτερον ἐπεισφέροντες, ἵνα μόνον ἐκπέμπωσι τῆς οὐσίας τοῦ Πατρὸς τὸν Υἱόν; » (Τ. 4. σελ. 39, 40). Σ. Μ.

[η] Τὰ βιβλ. περὶ τῆς ἐν πνεύματι καὶ ἀληθείᾳ προσκυνήσεως καὶ λατρείας ἐγράφησαν ἐν εἴδει διαλόγου πρὸς Παλλάδιόν τινα, καὶ ἐκλήθησαν οὕτω, διότι προέθετο ὁ θεῖος Πατὴρ λῦσαι ἐν αὐτοῖς τὴν ἐρώτησιν: τί δηλοῦσιν οἱ λόγοι τοῦ Σωτῆρος οὐκ ἦλθον καταλῦσαι τὸν νόμον... ἀλλὰ πληρῶσαι (Ματθ. ε' 17), καὶ Πνεῦμα ὁ Θεός· καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν Πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν (Ἰωάν. δ' 24), γνωστοῦ ὄντος, ὅτι ὁ ἀρχαῖος ἱεροτελεστικὸς νόμος ἠκυρώθη ὑπὸ τῆς Καινῆς Διαθήκης; (Τ. Α' σελ. 2). Συνῳδὰ τῷ σκοπῷ τούτῳ δείκνυσι τὴν μυστικὴν σημασίαν τῶν περὶ ἱεροτελεστικῶν διατάξεων τοῦ Μωϋσέως καὶ τῶν γεγονότων τῆς Π. Δ. καὶ ἀποκαλύπτει ἅπασαν τὴν οἰκονομίαν τῆς ἡμετέρας σωτηρίας. Σ. Μ.

καὶ σκιᾶς μεταπλάττοντες τὸ διήγημα, σαφῆ ποιησόμεθα τὴν ἀφήγησιν, ἀπονενευκότος ἡμῖν τοῦ λόγου πρὸς τὸ Χριστοῦ μυστήριον, καὶ αὐτὸν ἔχοντος πέρας, εἴπέρ ἐστιν ἀληθές, ὅτι τέλος νόμου καὶ προφητῶν ὁ Χριστός. Εἰ δέ πη γένοιτο καὶ ἀφαμαρτεῖν τοῦ πρεπωδεστέρου ὡς ἐν ἰσχνότητι νοημάτων καὶ ἀσαφείᾳ πολλῇ, εὐγνώμονας εἶναι προσήκει τοὺς ἐντευξομένους» (¹). Τοιούτῳ τρόπῳ αὐτὸς ὁ διδάσκαλος τῆς Ἀλεξανδρείας ἀνωμολόγει, ὅτι ἐν τῷ πονήματι αὐτοῦ πολλὰ τὰ αὐθαίρετα. Οὐ μὴν ἀλλὰ ἀμφότερα τὰ συγγράμματα περιέχουσιν οὐκ ὀλίγας καὶ ὄντως λαμπρὰς ἐννοίας. Ἐν τῷ περὶ τῆς ἐν πνεύματι καὶ ἀληθείᾳ προσκυνήσεως καὶ λατρείας ἀναγινώσκομεν πολύτιμον μαρτυρίαν περὶ τοῦ Εὐχελαίου (βιβλ. ς' σελ. 410) [*]. Ἐνταῦθα ἀπαντᾷ ἐπ' ἴσης ἀκριβὴς ἔννοια περὶ τῆς χριστιανικῆς Ἐκκλησίας (βιβλ. θ' 10) καὶ διδασκαλία περὶ τοῦ χριστιανικοῦ βίου (βιβλ. 6' 8. 14-26).

2.] Ἐξαίρετόν ἐστι τὸ σύγγραμμα τοῦ ἁγίου Κυρίλλου ὑπὲρ τῆς τῶν χριστιανῶν εὐαγοῦς θρησκείας πρὸς τὰ τοῦ ἐν ἀθέοις Ἰουλιανοῦ τρία [θ] βιβλία, ἅτινα ὁ Παραβάτης συνέγραψε τῇ συνδρομῇ τοῦ Μαξίμου καὶ ἄλλων ἐθνικῶν φιλοσόφων ὑπὲρ τῆς ἐθνικῆς θρησκείας καὶ κατὰ τῆς χριστιανικῆς. Ἐν τῷ πρώτῳ τῶν μέχρι τοῦδε ἐκδοθέντων δέκα βιβλίων [ι] ἀποδείκνυσιν ὁ θεσπέσιος Κύ-

---

(¹) Πρόλογ. εἰς τὰ Γλαφυρά. Τεμάχια ἐξ ἀμφοτέρων τῶν συγγραμμάτων ἐν ταῖς ὑπὸ τοῦ Κραμέρου ἐκδοθείσαις Σειραῖς.

[*] Περὶ τοῦ μύρου βλ. ἑρμ. εἰς Ἠσ. κε' 6. εἰς Ἰωὴλ 6' 23.

[θ] Ὁ μὲν ἅγιος Κύριλλος γράφει ἐν τῷ προσφωνήματι πρὸς τὸν Θεοδόσιον, ὅτι ὁ δυσώνυμος Ἰουλιανὸς «τρία συγγέγραφε βιβλία κατὰ τῶν ἁγίων Εὐαγγελίων καὶ κατὰ τῆς εὐαγοῦς τῶν χριστιανῶν θρησκείας» (Τ. θ' σελ. 508 ed Migne)· ὁ δὲ μακάριος Ἱερώνυμος λέγει ἐν τῇ ἐπιστολῇ ad Magnum Romanum, ὅτι ἔγραψεν ἑπτά: «Julianus Augustus *septem libros* in expeditione parthica adversus Christum evomuit, et juxta fabulas poetarum suo se esse lacevarit» (ep. LXXXIV). Ἐκ τῶν διασωθέντων δέκα βιβλίων τοῦ ἁγίου Κυρίλλου δῆλον, ὅτι ἐν αὐτοῖς περιέχεται ἡ ἀνασκευὴ μόνον τοῦ πρώτου βιβλίου τοῦ Ἰουλιανοῦ. Σ. Μ.

[ι] Παρά τισι τῶν ἀρχαίων ἐκκλησιαστικῶν συγγραφέων ἀπαντῶσι τεμάχια ἐκ τῶν ιγ', ιδ', ιέ, ιή καὶ ιθ' βιβλίων τοῦ ἁγίου Κυρίλλου κατὰ

ριλλος τὸ ἀξιόπιστον τῆς διηγήσεως τοῦ Μωϋσέως περὶ τῆς δημιουργίας τοῦ κόσμου. Ἐν τῷ δευτέρῳ παραβάλλει τὴν διήγησιν ταύτην πρὸς τὰς ἀλλοκότους δοξασίας τοῦ Πυθαγόρου, τοῦ Θαλοῦ, τοῦ Πλάτωνος, ἃς πρὸς καταισχύνην τοῦ ὀρθοῦ νοῦ τοσοῦτον ἐθαύμαζεν ὁ Ἰουλιανός. Ἐν τῷ τρίτῳ ὑπερασπίζει τὴν ἱστορίαν περὶ τοῦ πειραστοῦ ὄφεως, καὶ δείκνυσιν, ὅτι ἐστὶ πολλῷ πιθανωτέρα τῶν μύθων τοῦ Ἡσιόδου περὶ τῆς ἀρχῆς τῶν θεῶν. Ἐν τῷ τετάρτῳ ἀπολογεῖται ὑπὲρ τῆς θείας Προνοίας, καὶ δείκνυσιν, ὅτι τὸ παραδοῦναι τὴν κυβέρνησιν τοῦ κόσμου ὑποδεεστέροις θεοῖς ἀντίκειται τῇ περὶ Θεοῦ ὀρθῇ ἐννοίᾳ. Ἐν τῷ πέμπτῳ ὑπερασπίζει τὰς ἐντολὰς τοῦ Δεκαλόγου τοῦ Μωϋσέως καὶ τὸ ἑνιαῖον τοῦ Θεοῦ. Ἐν τῷ ἕκτῳ ἀντιπαραβάλλει τὰς ὑψηλὰς τῶν Προφητῶν ἀρετὰς πρὸς τὰ ἀκάθαρτα καὶ ταπεινὰ ἔργα τῶν φιλοσόφων, καὶ ὑπερασπίζει τὸ ἔθος τῶν χριστιανῶν ἐγχαράττειν καὶ μετώποις καὶ οἰκίαις τὸ σημεῖον τοῦ τιμίου Σταυροῦ, καὶ δείκνυσι τὴν ἐπὶ τῶν χρηστηρίων δύναμιν αὐτοῦ. Ἐν τῷ ἑβδόμῳ καταδείκνυσιν, ὅτι οἱ χριστιανοὶ ἥρωές εἰσι πολλῷ ὑπέρτεροι τῶν ἐθνικῶν ἡρώων. Ἐν τῷ ὀγδόῳ καὶ ἐννάτῳ ἀποδείκνυσιν, ὅτι ὁ Ἰησοῦς Χριστὸς προερρέθη ὑπὸ τῶν Προφητῶν, καὶ ὅτι μία καὶ ἡ αὐτὴ ὑπόθεσις ἀμφοτέρων τῶν Διαθηκῶν. Ἐν τῷ δεκάτῳ δηλοῖ, ὅτι ἡ Θεότης τοῦ Ἰησοῦ Χριστοῦ δείκνυται ἄριστα παρὰ τοῖς Εὐαγγελισταῖς, καὶ ὅτι οἱ χριστιανοὶ τιμῶσι μὲν τοὺς μάρτυρας, ἀλλ' οὐ θεοποιοῦσιν αὐτούς [κ].

τοῦ Ἰουλιανοῦ. Βλ. Ang. Maii Nov. Collect. vet. Script. T. VII. p. 94, 98-108. Σ. Μ.

[κ] Ὅσον σπουδαῖον καὶ ὠφέλιμον τὸ σύγγραμμα τοῦτο, καὶ ὅσον περὶ πολλοῦ ἐποιοῦντο αὐτὸ οἱ τῷ θεσπεσίῳ Κυρίλλῳ σύγχρονοι, δείκνυται καὶ ἐκ τούτου, ὅτι ἀναγνοὺς αὐτὸ ὁ μακάριος Θεοδώρητος, ἔγνω διαλλαγῆναι πρὸς αὐτόν, ἐν ᾧ μέχρι τούτου τοῦ χρόνου ἡγεῖτο μὲν αὐτὸν ὀρθόδοξον, ἀλλ' οὐκ ἐβούλετο ὑπογράψαι τῇ καταδίκῃ τοῦ Νεστορίου. «Ἡνίκα δέ, λέγει, τὰ κατὰ Ἰουλιανοῦ συγγράμματα εἰς Ἀντιόχειαν ἐκπέπομφεν (ὁ Κύριλλος), ὡσαύτως δὲ καὶ τὰ εἰς τὸν ἀπομπαῖον γραφέντα, τὸν μακάριον ᾔτησεν Ἰωάννην τὸν τῆς Ἀντιοχείας ἐπίσκοπον, ἐπιδεῖξαι ταῦτα τοῖς κατὰ τὴν ἑῴαν διαπρέπουσι διδασκάλοις, καὶ δὴ τοῖς γράμμασιν εἴξας ὁ μακάριος Ἰωάννης πέπομφεν ἡμῖν τὰς βίβλους, καὶ ἀναγνόντες ἐθαυμάσαμεν, καὶ ἐπεστεί-